Τῶν δὲ διηγημάτων εἰσὶ διαφοραὶ πρὸς ἄλληλα τρεῖς· τὰ μὲν γάρ ἐστιν ἀφηγηματικά, τὰ δὲ δραματικά, τὰ δὲ μικτά. ἀφηγηματικὰ μὲν οὖν ἐστιν, ὅσα ἀπὸ μόνου λέγεται τοῦ προσώπου τοῦ ἀπαγγέλλοντος αὐτά, οἷά ἐστι τὰ παρὰ Πινδάρῳ· δραματικὰ δέ, ὅσα οὐκ ἀπ' αὐτοῦ τοῦ συντιθέντος, ἀπὸ δὲ τῶν ὑποκειμένων προσώπων λέγεται, οἷα τὰ ἐν τοῖς κωμικοῖς καὶ τραγικοῖς δράμασι· μικτὰ δὲ τὰ ἐξ ἀμφοτέρων συγκείμενα, οἷα τὰ Ὁμήρου καὶ Ἡροδότου καὶ εἴ τινα ἄλλα τοιαῦτα, πῇ μὲν ἀπ' αὐτοῦ τοῦ ἀπαγγέλλοντος ἐκφερόμενα, πῇ δὲ ἐξ ἑτέρων προσώπων. ἔτι τῶν διηγημάτων τὰ μέν ἐστι μυθικά, τὰ δὲ ἱστορικά, τὰ δὲ πραγματικά, ἃ καὶ δικανικὰ καλοῦσι, τὰ δὲ πλασματικά. μυθικὰ μὲν οὖν ἐστι τὰ οὐκ ἀναμφισβητήτου πίστεως ἠξιωμένα, ἀλλ' ἔχοντα καὶ ψεύδους ὑπόνοιαν, οἷα τὰ περὶ Κυκλώπων καὶ Κενταύρων· ἱστορικὰ δὲ ⟨τὰ⟩ τῶν ὁμολογουμένως γενομένων παλαιῶν

7—17 ∼ P 578, 18—28 17—p. 13, 13 ∼ P 578, 29—579, 13

2 cf. Herm. 4, 9; Marx ad Lucil. v. 338 2 sq. Sard. 8 sq. Ac; Dox. 207, 1 sq.; Max. 13, 16 sq.; R = P 9 sq. cf. Plat. Reip. III 394 BC et Procl. I p. 14, 20 Kroll 17 sq. cf. Herm. 4, 16 sq.; Aphth. 22, 4 sq.; R = P; Ac; cf. Sard.

1 τῶν ἀληθῶν P Dox., (om. τῶν) O; τῶν ἀληθινῶν M 3 τῶν M; om. O 6 ἄλλο τι O; εἴ τ[evan.] M 9 λέγεται M; λο (γ' supra), mg. λε (γ' supra), O 11. 12 αὐτοῦ ἐξαγγέλλεται τοῦ Sard. 16 ἑτέρων P; ἀμφοτέρων O 22 τὰ add. PAc γενομένων PAc; λεγομένων O

πραγμάτων, οἷα τὰ περὶ Ἐπιδάμνου· πραγματικὰ δὲ ἤτοι δικανικὰ τὰ ἐν τοῖς πολιτικοῖς ἀγῶσι λεγόμενα· πλασματικὰ δὲ τὰ ἐν ταῖς κωμῳδίαις καὶ ὅλως τὰ ἐν τοῖς ἄλλοις δράμασι. κοινωνεῖ δὲ τὰ μυθικὰ διηγήματα τοῖς μύθοις [ἐν] τῷ ἀμφότερα δεῖσθαι πίστεως, διαφέρει δέ, ὅτι οἱ μὲν μῦθοι ὁμολογουμένως εἰσὶ ψευδεῖς καὶ πεπλασμένοι, τὰ δὲ μυθικὰ διηγήματα καὶ παρ' ἄλλων ὡς γεγονότα ἱστόρηται καὶ τῶν ἐνδεχομένων ἐστὶ γενέσθαι καὶ μὴ γενέσθαι. ἔτι κοινωνεῖ τὰ πλασματικὰ διηγήματα τοῖς μύθοις τῷ ἀμφότερα πεπλάσθαι, διαφέρει δὲ καὶ ταῦτα ἀλλήλων, ὅτι τὰ μὲν πλασματικὰ διηγήματα, εἰ καὶ μὴ ἐγένετο, ἀλλ' ἔχει φύσιν γενέσθαι, οἱ δὲ μῦθοι οὔτε ἐγένοντο οὔτε φύσιν ἔχουσι γενέσθαι.

Στοιχεῖα δὲ διηγήσεως ἕξ· πρόσωπον, πρᾶγμα, τόπος, χρόνος, αἰτία, τρόπος. πρόσωπον μὲν οἷον τὸ ποιοῦν, τὸ τοῦ Δημοσθένους, Μειδίου· πρᾶγμα δὲ τὸ ἀποτελούμενον, οἷον ὕβρις· τόπος δὲ ἐν ᾧ ἐγένετο, οἷον τὸ θέατρον· χρόνος δὲ πότε, οἷον ἐν ἑορτῇ· αἰτία δὲ δι' ἥν, οἷον [ἡ] ἔχθρα· τρόπος δὲ καθ' ὅν, οἷον λόγοις, χερσίν. εἰσὶ δέ τινες, οἳ τὴν ὕλην ἕβδομον στοιχεῖον προσέθηκαν, διαιροῦντες

---

14 — p. 14, 3 ∼ P 579, 13—24

---

4 sq. Dox. 205, 1 sq.; R = P **14** sq. cf. Theo. 78, 16; Aphth. 22, 8; An. Seg. § 90; Athanas. VII 921, 10 W.; Troil. VI 48, 23 W.; P VII 859 ann. W.; Dox. 234, 7 sq.; R **20** cf. Herm. 140, 19 R.; Porphyr. VII 921, 10 W.; Anon. VII 21, 3 W.; Max. 13, 24 sq.

---

1 *οἷα τυχὸν τὰ* P cf. Thucyd. 1, 24 sq.; Dox. 203, 27 **2** *λεγόμενα* om. Ac **3** *ταῖς* om. Ac *ὅλως τὰ ἐν* om. P Ac **4** *τὰ μὲν* P *διηγήματα* om. P **5** *ἐν* om. P; cf. l. 10. p. 25, 5 **7** *διηγήματα* om. P **9. 10** *διηγήματα* om. P **15** *πõιων* (corr.?) O **15. 16** *οἷον τὸ ποιοῦν· ὡς δημοσθένης ἢ μειδίας* P **16** *μη* with *δ'* above O *τελούμενον* P **18** *ἡ* om. P **19** *λο* with *γ'* above O *τινες* om. P **20** *προσέθηκαν* P; *προσέθησαν* O

αὐτὴν ἀπὸ τοῦ τρόπου καὶ τῷ μὲν τρόπῳ ἀπονέμοντες τὸ παρανόμως καὶ βιαίως πρᾶξαι, τῇ δὲ ὕλῃ τὸ ξίφει τυχὸν ἢ λίθῳ ἢ παλτῷ ἢ καὶ ἄλλῳ τινὶ χρήσασθαι τοιούτῳ.

Ἀρεταὶ δὲ διηγήσεως κατὰ μέν τινας πέντε· συντομία, σαφήνεια, πιθανότης, ἡδονή, μεγαλοπρέπεια [καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός]· κατὰ δὲ ἑτέρους μόνη ἡ πιθανότης· τὰς γὰρ ἄλλας τέσσαρας κοινὰς παντὸς λόγου ἐνόμισαν· ὡς δὲ ⟨τοῖς⟩ ἀκριβεστέροις δοκεῖ, τρεῖς εἰσι μόναι, σαφήνεια, συντομία, πιθανότης. χρὴ ⟨δὲ⟩ εἰδέναι, ὅτι σφόδρα δυσχερές ἐστι τοῖς σαφηνείας ἐπιμελουμένοις καὶ συντομίας ποιεῖσθαι φροντίδα· πολλάκις γὰρ ἢ διὰ συντομίαν εἰς ἀσάφειαν προάγομεν τὸν λόγον ἢ διὰ τὸ σαφῶς εἰπεῖν μήκους δεόμεθα. χρὴ τοίνυν τὴν συντομίαν σκοπεῖν, εἰ σύμμετρός ἐστι, μήτε παραλιμπάνουσά τι τῶν ἀναγκαίων μήτε πλεονάζουσα· τότε γὰρ ἀρετὴ γενήσεται λόγου· εἰ γὰρ φανείη παραλιμπάνουσά τι τῶν χρησίμων, ἐν κακίαις μᾶλλον ταχθήσεται. πῶς μὲν οὖν ἂν γένοιτο συντομία ἢ πῶς προστεθήσεται τῷ λόγῳ τὸ πιθανόν, μεῖζον ἢ κατ'

---

4 — p. 16, 2 = P 583, 1—584, 1

---

4 cf. Aphth. 22, 10; An. Seg. § 63 6 sq. An. Seg. § 103; Ruf. I 2 p. 402, 26 Sp.-H.; Quint. IV 2, 31; Theo. 79, 20; Max. 14, 22 sq. 8 cf. Ruf. I 2 p. 402, 15 Sp.-H. 11 sq. cf. Theo. 84, 16 18 sq. cf. Theo. 83, 5 sq.; An. Seg. § 102
18 *πιθανὸν* — p. 15, 6 *ἀσαφείας*: M = Monac. graec. 478 f. 290 v (cf. Praef. cap. A II)

---

2 alt. τὸ P; τῶ O 3 ἢ καὶ παλτῶ ἢ καὶ P; ἢ πλούτω· καὶ ἢ O χρήσασθαι τούτω O; χρῆσθαι τοιούτω P 5 καὶ — 6 ἑλληνισμός om. P; Aphthonii sunt verba 22, 12 Sp.; cf. Max. 14, 21: τινὲς ἀντὶ τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ ἡδονὴν καὶ μεγαλοπρέπειαν ἔθηκαν 6 καθ' ἑτέρους δὲ P ἡ om. P 8 τοῖς add. P 9 δεῖ δὲ P σφόδρα P; σφοδρον O 12 προάγομεν P; προεισάγομεν O σαφῶς P; σαφές O 14 σύμμετρός P; σύμμετρόν O 15 γένηται, mg. σεται, O; γίνεται Pac; κατὰ Vh 16 φανῇ O P ἐν κακίαις An. Seg. § 102; ἐν κακία O (P: κακία γίνεται) 18 folium incipit |πιθανὸν τῶ λόγω μεῖζον M

εἰσαγωγὴν τὸ ἔργον τῷ πειρωμένῳ διδάσκειν. δεῖ δὲ τὸν κρίνειν μέλλοντα καλῶς, ὅταν σαφηνείας τε ὁμοῦ καὶ συντομίας φροντίζειν ἀναγκάζηται, εἰ μὲν ἀμφότερα συμβαίνοι, χρήσασθαι αὐτοῖς ἀμφοτέροις, εἰ δὲ μή, τῷ κατεπείγοντι, τὸ δέ ἐστι μᾶλλον τῆς σαφηνείας γίνεσθαι· οὐ γὰρ τοσαῦτα ἐκ ⟨τοῦ⟩ μήκους, ὅσα ἐκ τῆς ἀσαφείας ὁ λόγος βλαβήσεται. συντελοίη δ' ἂν πρὸς σαφήνειαν ἐν τοῖς διηγήμασι μετὰ πολλῶν ἑτέρων καὶ ἡ κατ' εὐθεῖαν πτῶσιν ἀπαγγελία· εὔγνωστον γὰρ [ἐν] ταῖς συνεχέσιν ἀναπαύσεσι ποιεῖ τὸν λόγον, ὅπερ οὐκ ἔστι ⟨ῥᾳδίως⟩ εὑρεῖν ⟨ἐν⟩ ταῖς πλαγίαις πτώσεσι.

Γυμνάζει δὲ ἡμᾶς τὸ διήγημα ὁμοίως πρὸς πάντα τὰ τῆς ῥητορικῆς μέρη, τό τε συμβουλευτικὸν καὶ ⟨τὸ⟩ δικανικὸν καὶ ⟨τὸ⟩ πανηγυρικὸν λέγω· ἐν ἅπασι ⟨γὰρ⟩ αὐτοῦ δεόμεθα.

Ἔτι δὲ διαιρουμένου τοῦ πολιτικοῦ λόγου εἰς πέντε μέρη, ἓν μέν ἐστι τὸ διήγημα τῶν πέντε· πολλάκις δὲ αὐτῷ καὶ ἐν τοῖς ἀγῶσι καὶ μάλιστα ἐν ταῖς παραδειγματικαῖς πίστεσι χρώμεθα, ἤδη δὲ καὶ ἐν τοῖς ἐπιλόγοις,

---

1—15 ∼ P 583, 15—29 **16. 17** al. P

---

1 R = P **12** — p. 16, 2 Ac **17** sq. Max. 14, 16 sq.

---

1 *τὸ* ex *τῶν* M **2** *ὁμοῦ* om. P **3** *φροντίζειν ἀναγκάζεται* O; *ἀναγκάζηται φροντίζειν* M **4** *συμβαίνοι* M; *συμβαίν* O *χρῆσθαι* (om. *αὐτοῖς*) P **5** *τὸ δέ ἐστι* M P; *ὅτι ἐστὶ* O *γ[ί* ex *ἡ]νεσθαι* M; fort. *ἔχεσθαι*, cf. Theo. 79, 28 **6** *τοσοῦτον ἐκ τοῦ μήκους ὅσον* P **6. 7** *ὁ λόγος βλαβήσεται* P; *τοῦ λόγου γενήσεται* O **8** *ἑτέρων καὶ* O; *καὶ ἄλλων* P **9** *ἀπαγγελία* P Ac; *ἐπαγγελία* O *ἐν* om. P *ταῖς* P; *τοῖς* O **10** *ἔστι ῥαδίως εὑρεῖν ἐν* P **12** *ὁμοίως* O; om. Ac; *καὶ* P *πρὸς* O P; *εἰς* ut vid. Ac **13** *μέρη* O Ac; *εἴδη* P *τό τε* O Ac; om. P *συμβουλευτικόν φημι* P **13** et **14** *τὸ* Ac; om. O P **14** *λέγω* O Ac; om. P *ἐν* — **15** *δεόμεθα* om. Ac *γὰρ* add. P **16. 17** *εἰς μέρη ε'* Ac **17** *μέν* om. Ac **18** *αὐτῷ* P; *αὐτὸ* O Ac

ὅταν ἀναμιμνήσκωμεν τῶν λεχθέντων. διὸ καὶ διαφόρως αὐτῷ ἐγγυμναζόμεθα, οἷον κατὰ ⟨τὸ⟩ ὀρθὸν ἀποφαντικόν, κατὰ τὸ ἀποφαντικὸν ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικόν, κατὰ τὸ συγκριτικόν, κατὰ τὸ ἀσύνδετον. κατὰ τὸ ὀρθὸν μέν, οἷον Φαέθων Ἡλίου παῖς καὶ τὰ ἑξῆς, ὀρθὸν δὲ λέγεται διὰ τὴν ὀνομαστικὴν πτῶσιν. κατὰ ⟨δὲ⟩ τὸ ἐγκεκλιμένον, ὃ καὶ οὕτως ὀνομάζεται διὰ τὰς πλαγίας πτώσεις, οἷον Φαέθοντα τὸν Ἡλίου λόγος. κατὰ ⟨δὲ⟩ τὸ ἐλεγκτικόν, ὅταν ὡς ἐλέγχοντες λέγωμεν· τί δαί; οὐ τὸ καὶ τὸ ἐγένετο περὶ τοῦ Φαέθοντος; κατὰ ⟨δὲ⟩ τὸ συγκριτικόν, [καὶ] ὅταν λέγωμεν, ὅτι ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπων, ἀντὶ δὲ τοῦ καρτερῆσαι τὸν ἔρωτα ἐπέβη τῶν ἵππων καὶ τὰ ἑξῆς. κατὰ δὲ τὸ ἀσύνδετον, ὅταν διεξίωμεν· ἠράσθη Φαέθων ἐπιβῆναι τῶν ἵππων, ἔπεισε τὸν πατέρα, ἐδέξατο τὰς ἡνίας. οὕτω δὲ οὔσης διαφόρου τῆς ἀπαγγελίας τῇ μὲν κατ' ὀρθὸν διὰ τὴν σαφήνειαν ἐν τοῖς ἱστορικοῖς ἢ ἐν οἷς δεόμεθα σαφηνείας χρησόμεθα, τῇ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ τὸ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι καὶ τοῖς ἐλέγχοις, τῇ δὲ κατὰ τὸ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις, τῇ δὲ κατὰ τὸ συγκριτικόν, ὅπου ὁ καιρὸς δίδωσι· πολλα-

---

1—15 ∾ P 580, 18—581, 1 15—18 ∾ P 584, 1—4 18 — p. 17, 3 ∾ P 581, 1—8

---

2 Herm. 4, 21 sq.; cf. Theo. 87, 12 2 — p. 17, 3 cf. Max. 14, 1—16; R; Ac brevius 11 Herm. 5, 16. 17 15 sq. Herm. 5, 19 sq.

---

1 διαφόρως P; διαφόροις O; ἀδιαφόρως Ac 2 ἐγγυμναζόμεθα P Ac; ἐγυμνασόμεθα O τὸ add. P 6 λέγειεν O 6. 8. 10 δὲ add. P 7 ὃ — πτώσεις om. P; ἤγουν διὰ τῶν πλαγίων πτώσεων Ac 9 τί δαι O; τί δὲ P Ac 10 exsp. περὶ τὸν Φαέθοντα aut ἐπὶ τοῦ Φ. καὶ om. P 11 φαέθων ἀντὶ τοῦ μὲν σώφρονος Ac 15 ἐπαγγελίας O 17 τοῖς O, mg. ἢ ἐν οἷς 19 post ἀσύνδετον add. P: καθὸ προείπομεν (καθὼς εἴπομεν Pc), i. e. II 581, 1—8 W. 20 δίδωσι P; δέδωκε O πανταχοῦ P

χοῦ γὰρ καὶ ἐν ἅπασι τοῖς τῆς ῥητορικῆς ⟨εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ λόγου⟩ μέρεσι τῆς ἐργασίας ⟨ταύτης⟩ δεόμεθα.

Τῶν δὲ προγυμνασμάτων τὰ μέν ἐστι μέρη, τὰ δὲ ὅλα καὶ μέρη· καὶ μέρη μέν, ἅτινα ἐν ἄλλαις ὑποθέσεσι πάντως συμπαραλαμβάνεται, μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν ὡς ἄλλων μέρη ἐργάζεται, ποτὲ δὲ καὶ αὐτὰ ἰδίαν ὑπόθεσιν ⟨πληροῖ⟩. τὸ τοίνυν διήγημα τῶν μερῶν ἐστι μόνων· [καὶ] μέρους ⟨γὰρ⟩ ἀεὶ χρείαν πληροῖ καὶ οὐδέποτε ἀρκεῖ πρὸς ὅλην ὑπόθεσιν ἐν τοῖς πολιτικοῖς λόγοις, εἰ μή τις οὐκ ὀρθῶς λέγων εἴποι ἐν ταῖς ἐκφράσεσιν, αἵτινες αὐτῶν εἰσι τῶν διηγημάτων ὡς εἰπεῖν μέρη, ὡς ἐν τῷ περὶ ἐκφράσεως ῥηθήσεται.

⟨Περὶ χρείας.⟩

Μετὰ τὸ διήγημα τακτέον τὴν χρείαν· αὕτη γὰρ ἂν ἀρίστη τάξις γένοιτο· εἰσὶ γάρ τινες, οἳ καὶ πρὸ τοῦ μύθου καὶ πρὸ τοῦ διηγήματος αὐτὴν ἔταξαν καὶ λέγουσι διὰ τοῦτο δεῖν αὐτὴν προτάττειν, ἐπειδὴ καὶ αὐτὴ χρηστοῦ καθήγησιν ἔχει ἢ πονηροῦ φυγήν· 'δεῖ δέ' φασί 'τοὺς νέους περὶ τούτων πρῶτον διδάσκεσθαι.' πρὸς οὓς λεκτέον· τοῦτο μὲν οὐκ ἔξω λόγου, διὰ ⟨δὲ⟩ τὸ διαιρέσεως δεῖσθαι πλείονος ἢ κατὰ τὸν μῦθον καὶ τὸ διήγημα μετὰ ταῦτα

4—8 ∼ P 581, 8—11 (5—6 = P 579, 31—580, 3) **8—13** = P 579, 26—31 **15** — p. 18, 4 = P 585, 11—18

---

8 cf. Ac **16** cf. Herm. 4, 9; Theo. 64, 29

---

1 *εἴδεσι* — **2** *λόγου* add. P **7** *ἐργάζεται* O Vh; *ἐξεργάζεται* Pac **7. 8** *πληροῖ* add. Pa Vh, (ante *ὑπόθεσιν*) Pc **8. 9** *μόνων· μέρους γὰρ ἀεὶ χρείαν* P; *μόνων καὶ μ̊έ ᾶ χροίαν* O **11** *ὀρθῶς εἴποι* P; *ὀρθὸν λέγων εἴπῃ* O **12** *εἰσι* post *διηγημάτων* P *εἰπεῖν* P; *εἶπ̊ε* O **13** *ῥηθήσεται* O; *δειχθήσεται* P cf. 68, 10; 19. 70, 2

δεῖ αὐτὴν τάττεσθαι. ἕτεροι δὲ τάξαντες αὐτὴν πρώτην οὐ τὴν νῦν ταύτην αὐτῇ διαίρεσιν ἀποδεδώκασιν, ἀλλὰ τὴν κατὰ πάσας τὰς πτώσεις καὶ πάντας τοὺς ἀριθμοὺς προφορὰν μόνην ἐνόμισαν τοῖς νέοις ⟨ἄρτι⟩ τῶν ποιητῶν ἀφισταμένοις καὶ ἐπὶ τὴν ῥητορικὴν ἰοῦσιν ἀρκεῖν πρὸς τὴν τοῦ πολιτικοῦ λόγου μελέτην καὶ ἐχρῶντο αὐτῇ οὕτως· οἷον Πιττακὸς ὁ Μιτυληναῖος ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, ἔφη· ἀλλ' οὐδὲ διανοούμενος. καὶ πρῶτον μὲν κατ' εὐθεῖαν προέφερον, τὸ δ' ἐντεῦθεν καὶ κατὰ τὰς ἐφεξῆς. οἷον ⟨κατὰ⟩ γενικήν· Πιττακοῦ ⟨τοῦ⟩ Μιτυληναίου ἐρωτηθέντος, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, λόγος ἀπομνημονεύεται· ἀλλ' οὐδὲ διανοούμενος. κατὰ δοτικήν· Πιττακῷ τῷ Μιτυληναίῳ ἐρωτηθέντι, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, ἐπῆλθεν εἰπεῖν· ἀλλ' οὐ⟨δὲ⟩ διανοούμενος. κατὰ αἰτιατικήν· Πιττακὸν τὸν Μιτυληναῖον ἐρωτηθέντα, εἰ τοὺς θεοὺς λανθάνει τις φαῦλόν τι ποιῶν, εἰρηκέναι φασίν· ἀλλ' οὐδὲ διανοούμενος. ἡ δὲ κλητικὴ σαφής ἐστιν αὐτόθι· πρὸς γὰρ αὐτὸν τὸν εἰπόντα ⟨τὸν⟩ λόγον ποιησόμεθα· σύ, ὦ Πιττακὲ Μιτυληναῖε, ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλόν τι ποιῶν, εἶπας· ἀλλ' οὐδὲ διανοούμενος. καὶ οὕτω κατὰ τὸν δυικὸν ἀριθμὸν καὶ πληθυντικόν, εἰ ἐνδέχοιτο τυχὸν διὰ μελέτην δευτέρῳ Πιττακῷ

4—6 ∼ P 585, 25—27   6 — p. 19, 1 ∼ P 585, 19—24

---

1 sq. cf. Theo 101, 9 sq.; cf. Dox. 192, 16 sq.; Max. 21, 6; R = P   4—6 Dox. 193, 5—8   7 cf. Theo. 97, 30. 102, 5

---

1 — p. 19, 6 ed. Brinkmann *Rhein. Mus.* 65, 154 sq.   4 ἄρτι add. P Dox.   ποιητικῆς P; ποιητικῶν Dox.   9 προσέφερεν O; corr. Brinkmann   10 κατὰ add. P   11 τοῦ add. Brinkmann   13 κατὰ δοτικὴν P; καὶ δοτικῇ O   14 φαῦλον mg. suppl. O   15 οὐδὲ P; οὐ O   16 κατὰ αἰτιατικὴν P; καὶ αἰτιατικῇ O   17. 18 φασιν εἰπεῖν P   19 αὐτόθεν Brinkmann   τὸν add. Brinkmann

ἢ καὶ πλείοσιν ἀνατιθέναι τὸν λόγον. ἀλλὰ νῦν διὰ ταύτην τὴν αἰτίαν οὐ τακτέον πρώτην τὴν χρείαν· ἕως μὲν γὰρ οὐ διῄρητό τισι κεφαλαίοις, καλῶς εἶχεν ἐγγυμνάζεσθαι τῷ λόγῳ διὰ τὴν ἐξαλλαγὴν τὴν κατὰ τὰς πτώσεις· ἐπειδὴ δὲ ἤδη κεφαλαίοις πῃ διῄρηται, καλῶς ἂν ἔχοι τάττειν αὐτὴν μετὰ τὸ διήγημα.

Χρεία δέ ἐστι λόγος ἢ πρᾶξις εὔστοχος καὶ σύντομος, εἴς τι πρόσωπον ὡρισμένον ἔχουσα τὴν ἀναφοράν, πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη. λόγος δὲ ἢ πρᾶξις, ἐπειδὴ καὶ ἐν λόγοις εὑρίσκεται καὶ ἐν πράξεσιν. εὔστοχος δέ, ἐπειδὴ ἐν τούτῳ ἐστὶν ἡ ἰσχὺς τῆς χρείας ἐν τῷ εὐστόχως εἰρῆσθαι. σύντομος δέ, ὡς διὰ τὰ ἀπομνημονεύματα. εἴς τι δὲ πρόσωπον ἔχουσα τὴν ἀναφοράν, ὡς διὰ τὴν γνώμην· ἐκείνη γὰρ οὐκ εἰς πρόσωπον πάντως ἀναφέρεται. τὸ δὲ πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη, ἐπειδὴ ὡς ἐπὶ τὸ πλεῖστον ἀγαθή τις παραίνεσις ἕπεται. ἀλλὰ περὶ μὲν τῆς διαφορᾶς αὐτῶν ἐν τῷ περὶ γνώμης λεχθήσεται.

1—6 ∼ P 585, 27—586, 4 7 — p. 22, 3 = P 586, 5—587, 22 17—18 om. P, sed cf. adn. ad l. 13 et 15

---

7 cf. Theo. 96, 19 7—9 Ac; Dox. 249, 20 11 sq. cf. Sard.

---

1 καὶ Brinkmann; κατὰ O 2 πρώτην Brinkmann; πρῶτον O 3 διήρη(fin. lin.)ετό O 5 ἔχει, η supr., O 8 ὡρισμένον O Ac Dox.; om. P 10 πρόσκειται λόγος ἢ P fort. μὲν pro δὲ 12 ὡς om. P 13 post ἀπομνημονεύματα add. P: τὰ μὲν γὰρ ἀπομνημονεύματα (τὰ — ἀπομνημονεύματα om. Pa Vh) καὶ ἐν συντόμω ἂν γένοιντο· αἱ δὲ χρεῖαι διὰ βραχυτέρων ἀεί 14 ὡς om. P 14. 15 γὰρ οὐ πάντως εἰς ὡρισμένον ἀναφέρεται πρόσωπον· καὶ καθὰ δὲ ἄλλα γνώμη καὶ χρεία διαφέρουσιν· ἐν τῶι περὶ χρείας εἰρήσεται P 15 τὸ P; ἡ O 16 (παραλαμβανομένη om.) διὰ τὸ ὡς ἐπίπαν ἀγαθήν τινα παραίνεσιν τῆι χρεία ἕπεσθαι πρόσκειται P 17 ἀγαθό τις O 18 αὐτῶν i. e. χρείας, γνώμης, ἀπομνημονεύματος, cf. 25, 4 sq. 26, 5 sq.

Εἴρηται δὲ χρεία, οὐχ ὅτι καὶ τἆλλα προγυμνάσματα οὐκ ἐκπληροῖ τινα χρείαν, ἀλλ' ὅτι ἢ τῷ κοινῷ ὀνόματι κατ' ἐξοχὴν ὡς ἰδίῳ τετίμηται ὥσπερ Ὅμηρος ὁ ποιητὴς καὶ Δημοσθένης ὁ ῥήτωρ, ἢ ὡς ἐπὶ τὸ πλεῖστον ἐκ περιστάσεώς τινος καὶ χρείας τὴν ἀρχὴν αὐτῇ τις ἐχρήσατο.

Τῶν δὲ χρειῶν αἱ ἀνωτάτω διαφοραὶ τρεῖς· αἳ μὲν γὰρ αὐτῶν εἰσι λογικαί, αἳ δὲ πρακτικαί, αἳ δὲ μικταί. πρόσκειται τὸ ἀνωτάτω, ἐπειδὴ καὶ αὗται πολλὰς διαφορὰς πρὸς ἀλλήλας ἔχουσιν, ἃς δεῖ μανθάνειν ἐκ παρασκευῆς τῆς περὶ τὴν τέχνην ἢ ὕλην πλείονος. λογικαὶ μὲν ⟨οὖν⟩ εἰσιν αἱ διὰ λόγων μόνων, οἷον· Ἰσοκράτης ἔφη τῆς παιδείας τὴν ῥίζαν εἶναι πικράν, τοὺς δὲ καρποὺς γλυκεῖς. πρακτικαὶ δὲ αἱ διὰ ἔργων μόνων, οἷον· Διογένης ἰδὼν μειράκιον ἀκοσμοῦν κατὰ τὴν ἀγορὰν τῇ βακτηρίᾳ τὸν παιδαγωγὸν ἔτυψε. μικταὶ δὲ ⟨αἱ⟩ ἐξ ἀμφοτέρων, οἷον· Λάκων ἐρωτηθείς, ποῦ τὰ τείχη τῆς Σπάρτης, ἀνατείνας τὸ δόρυ ἔφη· ἐνταῦθα.

---

1 sq. Ac; cf. Dox. 253, 24 sq.; R **2** cf. Theo. 97, 7 **6** cf. Theo. 97, 1; Herm. 6, 7; Aphth. 23 **11** cf. Herm. 7, 13; Dox. 254, 13 sq.; Aphth. 23, 19 **13** cf. Theo. 97, 20; Herm. 6, 10; Aphth. 23, 11 **16** cf. Theo. 97, 9; Dox. 261, 9 sq.

---

1 *χρεία δὲ εἴρηται* P, (om. *δὲ*) Ac *γὰρ* (pro *δὲ*) O **2** *οὐ πληροῖ* P Ac *τινα* om. Ac *ὅτι — ὀνόματι* O Ac; om. P **3** *ὡς ἰδίω τετίμηται* O Ac; om. P **3. 4** sic O; *ὥσπερ* (*ὥσ που* Pc) *καὶ τὸν ὅμηρον ποιητὴν φαμὲν εἶναι· ἢ* P; *ὥσπερ ὅμηρος λέγεται ποιητής· καὶ δημοσθένης ῥήτωρ· ἢ* Ac **5** *ἐχρήσατο* P Ac; *ἐχαρίσατο* O **6** *τρεῖς αἱ ἀνωτάτω τῆς χρείας διαφοραί* P **7** *λογικαὶ μόνον* P **8** *τὸ* Pc; *τῶι* Pa Vh; *δὲ* O **9** *πρὸς ἀλλήλας* om. P **10** *ὕλην* Finckh; *ὕλης* O P *οὖν* add. P **11** *μόνων* P; *μόνον* ex *μόνων* O post *μόνων* add. P: *δηλοῦσαι τὴν ὠφέλειαν* **12** *τὴν* O, item p. 21, 4. 23, 1; Theo.; *τὴν μὲν* P Herm. Dox. *τὸν δὲ καρπὸν γλυκὺν* (cf. p. 21, 4; Herm.) m. 1 corr. ex *τοὺς δὲ καρποὺς γλυκεῖς* O; *γλυκεῖς δὲ τοὺς καρπούς* P **13** *πρακτικαὶ* P; *πραγματικαὶ* O *μόνων* om. P **13—15** aliud exemplum P **15** *αἱ* Pc; om. O Pa Vh **16** *τείχη* Pa Vh; *τεύχη*, mg. *ἢ τείχη*, O; *χρήματα* Pc; *οἱ ὅροι* Dox.

Ἔτι τῶν χρειῶν φασι τὰς μὲν χρησίμου τινὸς ἕνεκα παραλαμβάνεσθαι, ⟨τὰς δὲ⟩ χαριεντισμοῦ μόνου· χρησίμου μὲν ἕνεκα ὡς ἐνταῦθα· Ἰσοκράτης ἔφη τῆς παιδείας τὴν ῥίζαν εἶναι πικράν, τὸν δὲ καρπὸν γλυκύν· συμβάλλεται γὰρ πρὸς τὸ δεῖν καρτερεῖν τὰ δυσχερῆ διὰ τὴν ἡδονὴν τὴν μετὰ ταῦτα. χαριεντισμοῦ δὲ ἕνεκα μόνου ὡς ἐπ' ἐκείνης· Ὀλυμπιὰς ἡ μήτηρ Ἀλεξάνδρου ἀκούσασα, ὅτι ὁ παῖς αὐτῆς υἱὸν αὐτὸν Διὸς εἶναι λέγει, οὐ παύσεται, ἔφη, τὸ μειράκιον διαβάλλον με πρὸς τὴν Ἥραν; δοκεῖ γὰρ χαριεντισμὸν ἔχειν. καὶ πάλιν· Δάμων ὁ παιδοτρίβης, φασί, στρεβλοὺς ἔχων τοὺς πόδας καὶ τὰ ὑποδήματα ⟨ἐν⟩ τῷ βαλανείῳ ἀπολέσας ηὔχετο ταῦτα τοῖς ποσὶ τοῦ κλέψαντος ἁρμόσαι· δοκεῖ γὰρ ⟨καὶ⟩ αὕτη τὸ χάριεν ἔχειν μόνον. ἐμοὶ δὲ μετὰ τοῦ χαριεντισμοῦ φαίνονται καὶ ἀγαθὴν παραίνεσιν ἔχουσαι· ἣ μὲν γὰρ ἀποτρέπει τὸν παῖδα τοῦ ἑαυτὸν ὀνομάζειν Διὸς υἱόν, ὃ δὲ φεύγειν εἰσηγεῖται τὴν κλοπὴν ὡς πρᾶγμα ἀτοπώτατον. διὸ οὐ⟨δὲ⟩ πειστέον τοῖς ἀνασκευάζουσι τὰς χρείας· εἰσὶ γάρ τινες, οἳ καὶ ταύτας καὶ τοὺς μύθους ἀνασκευάζουσι. πρὸς οὓς λεκτέον, ὅτι δεῖ μήτε τὰ ὁμολογούμενα

3 cf. Herm. 7, 13; Aphth. 23, 19 4—6 Sard.; cf. Theo. 99, 13, 24; 96, 29 6 sq. cf. Dox. 247, 19 sq. 7 cf. Theo. 99, 24 10 sq. cf. Ac; Sard.; R 19 sq. cf. Theo. 74, 7; 76, 15; 101, 5; 104, 15 19 — p. 22, 3 Ac; cf. Sard.

1 φασι om. P, tum αἱ μὲν ... παραλαμβάνονται, οἷον Ἰσοκράτης P 2 παραλαμβάνεται O 4 γλυκεῖς δὲ τοὺς καρπούς P 5 γὰρ P Sard.; δὲ O 9 παύσεται Finckh coll. Theo. 99, 26 (= Max. II 18, 7 W.), Plut. Alex. 3; παύεται O P Dox. 10 γὰρ P, O mg.; δὲ in textu O χ. ⟨μόνον⟩ Brinkmann 11 φασί O; φησί P; om. Ac Sard. cf. Theo. 100, 7 12 ἐν add. P Sard. ad βαλανείῳ mg. '' λουτρὸν O 13. 14 καὶ τοῦτο χαριεντισμὸν P μόνον — 15 ἔχουσαι om. P 15 ἀγαθῶν O; cr. Brinkmann ἔχουσα O 18 διὸ οὐ πιστέον O; διὸ οὐδὲ ὑποτακτέον Pc; δι' οὗ δὲ ὑπακτέον Pa Vh 19 ταῦτα O; αὐτὰς P; ταύτην Ac ὡς (pro alt. καὶ) Ac

ἀγαθὰ ἀνασκευάζειν διὰ τὸ μηδένα ἔχειν τὸν πειθόμενον μήτε τὰ ὁμολογούμενα ψευδῆ διὰ τὸ πρόδηλον εἶναι τὸ ψεῦδος. οὔτε οὖν τοὺς μύθους οὔτε τὰς χρείας ἀνασκευαστέον· οὔτε γάρ, ὅτι συνεπλάσθησαν οἱ μῦθοι, νοῦν ἔχων τις ἀγνοεῖ οὔτε πεισθήσεταί τις τῷ ἀποτρέποντι τῆς ἀγαθῆς παραινέσεως τῆς κατὰ τὴν χρείαν, καὶ μὴν καὶ ἐν αὐτοῖς τοῖς μύθοις τὸ ἀγαθόν, πρὸς ὃ βλέποντες πλάττομεν τοὺς μύθους, οὐκ ἐᾷ πιθανοὺς εἶναι δοκεῖν τοὺς ἀντιλέγοντας.

Τῶν χρειῶν ἔτι αἳ μὲν δηλοῦσιν, ὁποῖά εἰσι τὰ πράγματα, αἳ δέ, ὁποῖα δεῖ εἶναι. ὁποῖα μέν ἐστιν, ὡς ἐκεῖνο· Αἴσωπος ὁ μυθοποιὸς ἐρωτηθείς, τί ἐστιν ἰσχυρότατον ⟨τῶν⟩ ἐν ἀνθρώποις, εἶπεν· ⟨ὁ⟩ λόγος· τοῦτο γάρ ἐστιν ἰσχυρότατον. ὁποῖα δὲ δεῖ εἶναι, ⟨ὡς⟩ ἐκεῖνο· Ἀριστείδης ἐρωτηθείς, τί ἐστι τὸ δίκαιον, εἶπε· τὸ μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων· τοιαῦτα γὰρ δεῖ εἶναι. τοῦτο δὲ ἡμῖν συμβάλλεται [εἰδέναι] πρὸς τὴν διαίρεσιν· ἐὰν μὲν γὰρ ⟨ᾖ⟩ ἡ χρεία δηλοῦσα, ὁποῖά ἐστι τὰ πράγματα, μετὰ τὸ προοίμιον καὶ τὴν παράφρασιν ἐπαινεσόμεθα αὐτὴν ὡς ἀληθῶς ἔχουσαν, ἐὰν δὲ ὁποῖα δεῖ εἶναι, ὡς εἰκότως ἔχουσαν.

Ἔτι τῶν χρειῶν αἳ μέν εἰσιν ἁπλαῖ, αἳ δὲ πρός τι·

8—9 ∼ P 587, 22—25 **10** — p. 23, 8 ∼ P 587, 25—588, 9

10—16 Ac; Max. 19, 5—9 **16** sq. R **21** — p. 23, 5 Ac brevius

---

1 *ἀγαθὰ* P Ac; *ἀληθῆ* O **2** *ἤγουν τὴν χρείαν* add. ante *μήτε* Ac *μήτε* O Pc Ac; *μὴδὲ* Pa Vh **3** *ἤγουν τὸν μῦθον* add. post *ψεῦδος* Ac **10** *ἔτι* ante *τῶν* P; om. Ac *εἰσι* om. Ac **11** *δὲ τὰ ὁποῖα* O **12** *ὁ αἴσωπος* O P; om. Ac *ὁ μυθοποιὸς* O; om. Ac; *ὁ λογοποιὸς* P; cf. Theo. 73, 28. P. Marc *Byzant. Zeitschr.* 19, 411 *ἐστιν* om. P Ac *ἰσχυρότατον* P Ac; *ἰσχυρότερον* O **13** *τῶν* add. P Ac *γὰρ* O; *δὲ* P **13—14** *τοῦτο — ἰσχυρότατον* om. Ac **14** *ἰσχυρότερον* O *ὡς* add. Pc **17** [*εἰδέναι*] Finckh; an *πρὸς τὸ εἰδέναι τὴν διαίρεσιν*? **17. 18** *ἡ χρεία* P **19** *ἐπαινεσώμεθα* O Vh

ἁπλαῖ μέν, οἷον· Ἰσοκράτης ἔφη τῆς παιδείας τὴν ῥίζαν εἶναι πικράν, γλυκεῖς δὲ τοὺς καρπούς. πρός τι ⟨δὲ⟩ αἱ πρὸς τὴν ἐρώτησιν, οἷον· Πλάτων ἐρωτηθείς, ποῦ οἰκοῦσιν αἱ Μοῦσαι, ἐν ταῖς τῶν παιδευομένων, ἔφη, ψυχαῖς.

Τῶν δὲ προγυμνασμάτων τῶν μὲν ὄντων μερῶν, τῶν δὲ μερῶν καὶ ὅλων ἡ χρεία τῶν μερῶν ἂν εἴη· αὐτὴ γὰρ ἐφ' ἑαυτῆς οὐκ ἂν πληροίη μόνη ὑπόθεσιν.

Ἔτι τῶν προγυμνασμάτων τῶν μὲν συντελούντων εἰς τὴν τοῦ δικανικοῦ μελέτην, τῶν δὲ εἰς τὴν τοῦ πανηγυρικοῦ, τῶν δὲ εἰς τὴν τοῦ συμβουλευτικοῦ, ⟨ἡ χρεία προδήλως ἂν εἴη τοῦ συμβουλευτικοῦ·⟩ πάντως γὰρ ⟨ἢ⟩ ἐπί τι ἀγαθὸν προτρέπει ἢ πονηροῦ τινος εἴργει. συντελέσειε δ' ⟨ἂν⟩ καὶ εἰς τὰ ἄλλα· ἐν οἷς μὲν γὰρ ἐπαινοῦμεν, τοῦ ἐγκωμιαστικοῦ φροντίδα ποιούμεθα, ἐν οἷς δὲ τὸ εἰκὸς καὶ ⟨τὸ⟩ ἀπὸ παραδειγμάτων κατασκευάζομεν, τοῦ δικανικοῦ.

Ἔτι πέντε μερῶν ὄντων τοῦ πολιτικοῦ λόγου, τουτέστι προοιμίου, διηγήσεως, ἀντιθέσεως, λύσεως καὶ ἐπιλόγου, πρὸς τὴν πάντων μελέτην ἀρκέσει ἡ χρεία· καὶ γὰρ προοιμιαζόμεθα, ἔνθα ἐπαινοῦμεν τὸν εἰρηκότα ἢ πράξαντα, καὶ διηγούμεθα ἐν μέρει, ἔνθα τὴν παράφρασιν τῆς χρείας ποιούμεθα, καὶ ἀγωνιζόμεθα, κἂν μὴ ἀντιθέσεως ἀπτώ-

---

9 — p. 24, 12 ∼ P 588, 9—32

---

8 cf. Herm. 6, 9   12—20 Ac; R   20 sq. cf. Herm. 7, 11 sq.

---

2 *δὲ* add. P   11 *ἡ* — 12 *συμβουλευτικοῦ* add. Pc, *ἡ χρεία προδήλως μὲν τῷ συμβουλευτικῷ χρησιμεύει* Pa Vh   12 *ἢ* add. Ac Dox. 248, 14   13. 14 *συντελέσει δὲ* O; *συντελέσοι δ' ἂν* Ac; *συντελέσῃ δ' ἂν* P   14 *μὲν* om. Ac   16 *τὸ* add. Ac   18 *ἔτι* O; *καὶ* Ac   *τουτέστιν* — 19 *ἐπιλόγου* om. Ac   20 *τὴν τῶν ἁπάντων* Ac   21 *τὰ εἰρηκότα* O   22 *πρόφασιν* O; correxi coll. P et p. 24, 9   23 — p. 24, 1 *ἀπτόμεθα ἐνκατασκευάζομεν* O

μεθα, ἔνθα κατασκευάζομεν τὸ εἰρῆσθαι καλῶς ἢ πεπρᾶχθαι, καὶ ἐπιλογιζόμεθα, ἐν οἷς παραινοῦμεν ζηλοῦν τὸ λεχθέν.

Διήρηται ⟨δὲ⟩ κεφαλαίοις τούτοις· ἐπαίνῳ τοῦ εἰρηκότος βραχεῖ καὶ οὐκ εἰς μῆκος ἐκτεινομένῳ οὐδὲ διὰ πάντων τῶν ἐγκωμιαστικῶν κεφαλαίων γινομένῳ, ἵνα μὴ μεῖζον ᾖ τὸ προοίμιον τῆς ὑποθέσεως. πρῶτον οὖν τούτῳ τῷ ἐπαίνῳ τοῦ εἰρηκότος ἢ τοῦ πράξαντος, ἔπειτα μετ' αὐτὸν τῇ παραφράσει τῆς χρείας, ἐπὶ ταύτῃ τῷ εἰκότι καὶ τῷ ἀληθεῖ, εἶτα τῷ ἀπὸ παραδειγμάτων, καὶ ἐπὶ πᾶσι τῇ ἀφ' ἑτέρων κρίσει, μεθ' ἥν, ἂν δέῃ, καὶ ἐπὶ βραχεῖάν τινα παράκλησιν ἐρχόμεθα. ἰστέον δέ, ὅτι τινὲς μετὰ τὸ εἰκὸς τὸ ἀπὸ παραβολῆς τάττουσιν, ὅπερ ἐστὶ μέρος τοῦ εἰκότος, [ὡς] ἐμπῖπτον ἐν αὐτῷ ὡς ἐνθύμημα. τῶν γὰρ ἀποδείξεων ⟨πασῶν⟩ τῶν μὲν οὐσῶν ἐνθυμηματικῶν, τῶν δὲ παραδειγματικῶν, ἐν μὲν τῷ εἰκότι ταῖς ἐνθυμηματικαῖς χρησόμεθα, ἐν δὲ τῷ ἀπὸ παραδειγμάτων ταῖς παραδειγματικαῖς. καὶ οὕτω ⟨μὲν ὡς⟩ ἐν βραχεῖ τῷ προγυμνάσματι, [καὶ] πῶς ⟨δὲ⟩ δεῖ χρῆσθαι ταῖς ἀποδείξεσιν, ἐν ταῖς τελειοτέραις ὑποθέσεσι μαθησόμεθα. δεῖ ⟨δὲ⟩ καὶ ταῦτα τὸν διδάσκαλον ἐπ' αὐτῆς δεικνύναι τῆς διαιρέσεως.

12—21 = P 588, 32—589, 7

---

4 sq. cf. Herm. 7, 11 sq.; Aphth. 23, 15   5 cf. Sard.   10 cf. Sard.   12 Herm. 8, 1 sq.   14—18 Sard.

---

2 περαίνομεν O   4 διείρηται O   ἡ δὲ χρεία τοῖς μὲν ὀκτὼ τούτοις τέμνεται κεφαλαίοις P   6 γινομένῳ om. P Sard.   9 αὐτὸ OP; cr. Brinkmann   ἐπεὶ O   10 καὶ Vh Sard.; ἢ O Pac   τὸ (pro ult. τῷ) O   12 ἐρχόμεθα P; ἀρχόμεθα O; ἦλθε Sard.   13 τάττουσιν P; τάσσουσιν O   14 ὡς om. P Sard.   14. 15 ἐν αὐτῷ Sard.; ἑαυτῷ O; ἐν αὐτοῖς P   15 ἀποδείξεων πασῶν τῶν P Sard.   17 χρησόμεθα P Sard.; χρώμεθα O   18. 19 ὡς μὲν οὖν ἐν βραχεῖ προγυμνάσματι οὕτως· πῶς δὲ δεῖ κεχρῆσθαι P   20 ταῖς om. P

⟨**Περὶ γνώμης.**⟩

Γνώμη ἐστὶν ἀπόφανσις καθολική, συμβουλήν τινα καὶ παραίνεσιν ἔχουσα πρός τι τῶν ἐν τῷ βίῳ χρησίμων.

Διαφέρει δὲ τῆς χρείας, κοινωνοῦσα κατὰ τὴν πᾶσαν διαίρεσιν, πρῶτον μὲν ἐκείνῳ, ὅτι ἡ μὲν χρεία καὶ ἐν λόγοις ἐστὶ καὶ ἐν πράξεσιν, ἡ δὲ γνώμη ἐν λόγοις μόνοις· εἶτα ὅτι ἡ μὲν γνώμη ἀπόφανσίς ἐστι καθολικὴ καὶ οὐ πάντως εἴς ⟨τι⟩ πρόσωπον ἀναφέρεται, ἡ δὲ ⟨χρεία⟩ τὴν ἀναφορὰν πάντως εἰς πρόσωπον ἔχει· πρὸς τούτοις, ὅτι ἡ μὲν χρεία ἐκ περιστάσεώς τινος σύγκειται, ἡ δὲ γνώμη ἐν πλήθει λόγων· ἐνθυμηματικὴν ⟨γὰρ⟩ ἀπόδειξιν ἔχουσα τοῦ ⟨προ⟩κειμένου [καὶ] καθολικὴν ἅμα ποιεῖται παραίνεσιν· ἐφ' ἅπασιν [ἢ] ὅτι ἡ μὲν γνώμη πάντως ἢ αἵρεσιν ἀγαθοῦ ἢ φυγὴν κακοῦ εἰσηγεῖται, ἡ δὲ χρεία καὶ χαριεντισμοῦ ἕνεκα μόνου παραλαμβάνεται· εὕροι ⟨δ'⟩ ἄν τις οὐκ ὀλίγας διαφορὰς ⟨καὶ ἄλλας⟩. ἐπεὶ δὲ

2—15 = P 592, 21—593, 7 **16** — p. 26, 7 = P 593, 14—21

2—3 Ac; cf. Dox. 288, 26; R **4—15** cf. Ac; Sard. = Dox. 305, 10 sq. **7** cf. Theo. 96, 24; Herm. 7, 2; Aphth. 26, 3 **16** sq. cf. Ac; Dox. 296, 1; R

---

2 *ἀπόφανσις* O Sard., cf. Aristot. Rhet. *B* 1394 a 22, 1395 b 6; *ἀπόφασις* Ac, cf. P VII 765, 12 W. De differentia vocum *ἀπόφασις* et *ἀπόφανσις* cf. Io. Sic. VI 219, 8. 501, 6 W. *καθολική* Sard.; *καθολικὴν* O Ac, cf. l. 7 **4. 5** *χρείας κατὰ πᾶσαν κοινωνοῦσα τὴν διαίρεσιν* P **5** *μὲν τούτω καθὸ* (*ὅτι* Pc) P **5** *καὶ* — **10** *χρεία* om. Pc **6** *μόνοις* O; *μόνον* Pa Vh **8** *τι* add. Pa Vh Ac *χρεία* add. Pa Vh, cf. l. 6. 11 **9** *εἰς πρόσωπον πάντως* Ac *καὶ πρὸς* Pa Vh **10** *ὅτι* Pa Vh; ⌊*ὅ* rubro⌋*τι* O **11** *γὰρ* P; om. O Ac **12** *προκειμένου* Pc Ac; *προειρημένου* Pa Vh; *κειμένου* O *καὶ* om. P Ac *ποιῆται* O **13** pr. *ἢ* om. P alt. *ἢ* scripsi; *καὶ* O; om. P Ac **14** *φυγὴν* post *εἰσηγεῖται* P, post *κακοῦ* Ac **15** (*μόνου* om.) *εἰσάγεται* P Ac **15. 16** *εὕρη ἄν τις* O; *ἔστι καὶ ἄλλας ἐπιστήσαντα διαφορὰς τούτων εἰπεῖν, ἀλλὰ καὶ αὗται κτλ.* P: cf. Praef. cap. B IV v. fin.

κοινωνεῖ καὶ τὸ ἀπομνημόνευμα τῇ χρείᾳ καὶ τῇ γνώμῃ κατὰ τὴν παραίνεσιν, δεῖ καὶ τούτου πρὸς ταύτας τὰς διαφορὰς εἰπεῖν. διαφέρει οὖν τῆς μὲν ⟨γνώμης⟩ σχεδὸν πᾶσιν, οἷς ⟨καὶ⟩ ἡ χρεία, τῆς δὲ χρείας τῷ μήκει τῶν λόγων· ἃ γὰρ εἰσηγεῖται δι' ὀλίγων ἡ χρεία, ταῦτα διὰ πλειόνων τὸ ἀπομνημόνευμα. καὶ μάρτυς τούτου Ξενοφῶν ἐν τοῖς οὕτω λεγομένοις Ἀπομνημονεύμασιν.

Εἰσὶ δὲ καὶ τῶν γνωμῶν πρὸς ἀλλήλας διαφοραί. τῶν γὰρ γνωμῶν αἳ μὲν ἀληθεῖς, αἳ δὲ πιθαναί εἰσιν· ἀληθεῖς μέν, ὅταν λέγωμεν·

«οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα,
ᾧ λαοί τ' ἐπιτετράφαται καὶ τόσσα μέμηλεν·»

οὐ γὰρ οἷόν τε τὸν πολλῶν ἡγούμενον καθεύδειν παννύχιον. πιθαναὶ δὲ ὡς ἐκείνη· «ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ», τοῖος ὡς ἐκεῖνος· «οὐπώποτ' ἠρώτησα» γὰρ «γινώσκων, ὅτι τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών»· πιθανὴ γὰρ αὕτη, διότι συμβαίνει καὶ χρηστὸν ἄνδρα πεπλανημένον πονηροῖς συγγίνεσθαι. ἔτι τῶν γνωμῶν αἳ μέν εἰσιν ἁπλαῖ, αἳ δὲ διπλαῖ. ἁπλαῖ μὲν ὡς αὕτη·

«οὐκ ἔστιν εὑρεῖν βίον ἄλυπον οὐδενί.»

---

8 — p. 29, 6 ∾ P 593, 21—595, 5

---

6 Theo. 97, 3; Herm. 6, 15 8 — p. 28, 6 cf. Ac 11 cf. Herm. 8, 19; Aphth. 25, 16 11. 12 Theo. 98, 25 sq. 14 cf. Herm. 9, 9; Aphth. 25, 25 21 cf. Herm. 9, 7; Aphth. 25, 26

---

2 ταύτας P; τούτοις O 2. 3 εἰπεῖν τὰς διαφοράς P 3 τῆς P; τοῖς O γνώμης add. P Ac 4 πᾶσι ante 3 σχεδὸν Ac, om. Pc 4 οἷς καὶ Pa Vh Ac; οἷσπερ καὶ Pc 6 μάρτυς τούτου Pc, (τοῦ) O; τούτου μάρτυς Pa Vh 7 καλουμένοις P 9 ἀληθεῖς O P; ἀποτρεπτικαὶ Ac (cf. II 592, 10 W.) 11 Hom. *B* 24 βουληφόρον εὕδειν O 14 ὡς ἐκεῖναι O; om. P Ac 14—17 Eurip. Phoenic. fr. 812 N.[2] 16 οἷσπε O 19 αὗται O 20 ἐν οὐδενί Ac cf. Menandri fr. 411. III p. 120 Kock. Nauck[2] p. VIII. XXI

διπλαῖ δὲ ὡς ἐκείνη·

«ἐσθλῶν μὲν ἄπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι συμμίξῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.»

πάλιν τῶν γνωμῶν αἳ μὲν ἄνευ αἰτίας προφέρονται, αἳ δὲ καὶ τὴν αἰτίαν προσκειμένην ἔχουσιν· ἄνευ μὲν αἰτίας ὡς ἐκείνη·

«εἷς ἐστι δοῦλος, ⟨οἰκίας⟩ ὁ δεσπότης.»

μετ' αἰτίας δὲ ὡς ἐκείνη·

«ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.»

πρόσκειται γὰρ ἡ αἰτία τῆς πρὸς τὴν ἀλκὴν τροπῆς. καὶ πάλιν τῶν γνωμῶν αἳ μὲν δηλοῦσιν ὥσπερ αἱ χρεῖαι, ὁποῖά ἐστι τὰ πράγματα, αἳ δέ, ὁποῖα δεῖ εἶναι· ὁποῖα μέν ἐστιν ὡς τὸ «οἱ πλεῖστοι κακοί», ὁποῖα δὲ δεῖ εἶναι ὡς τὸ «μηδὲν ἄγαν». — Προστιθέασι καὶ ἄλλας τινὰς τῶν γνωμῶν διαιρέσεις, οἳ μὲν αὐτὰς εἴδη καλοῦντες, οἳ δὲ διαφορὰς πρὸς ἀλλήλας· οἷον ὅτι τῶν γνωμῶν αἳ μέν εἰσι προστακτικαὶ ὡς ἐκείνη· «ἄλκιμος ἔσσο», αἳ δὲ εὐκτικαὶ ὡς ἡ λέγουσα·

«μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος»,

αἳ δὲ ἀπαγορευτικαὶ ὡς ἐκείνη·

«μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι»,

αἳ δὲ κατ' ἐπίκρισιν ὡς αὕτη·

---

14 προστιθέασιν — 16 οἷον om. P

---

4 sq. Max. 23, 22 sq.; R 11 Max. 23, 26 16 — p. 28, 8 R

---

2 ἐσθλῶν μὲν ἄπ' ἐσθλὰ διδάξεαι P Ac, cf. Theogn. 35 B.[4]; ἐσθλὸν μὲν ἐπ' ἐσθλοὺς διδάξαι O 2. 3 εἰ ... συμμίξεις Ac 3 ἐόντα Pc; ἐνόντα O Pa Vh Ac 5 καὶ scripsi; κατὰ O προκειμένην O 6 ὡς ἐκείνη bis, prius del., O 7 οἰκίας add. P Ac Meineke fr. com. IV 345, 1 9 Hom. α 302 ἔσο O Pc Vh Ac; ἔσσο Pa 12 ὁποῖα P Ac; ποῖα O 13 Biantis, cf. Brunco, Acta sem. Erlang. 1884, p. 369 14 cf. Brunco p. 391 19 Eurip. Med. 598 21 Hom. Η 111 22 ἐπίκρισιν P Ac; ἐπίκρασιν O αὗται O

«ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ἐς τὸν ὁμοῖον».

καὶ ἔτι πρὸς τούτοις, ὅτι τῶν γνωμῶν αἳ μέν εἰσιν ἄδοξοι ὡς ἥδε·

«ἔα με κερδαίνοντα κεκλῆσθαι κακόν»,

αἳ δὲ ἔνδοξοι ὡς·

«εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης».

ταύτας γὰρ οἱ περὶ Σιρίκιον τὰς διαφορὰς <προσ>τιθέασι καὶ ἄλλας ἄλλοι πλείστας.

Ἀλλ' ἐκείνας μὲν καὶ αὖθις ἐξεταστέον, νῦν δὲ ἀρκέσει τοσοῦτον περὶ αὐτῶν εἰπεῖν, ὅτι πέντε μερῶν ὄντων τοῦ λόγου, προοιμίων, διηγήσεων, ἀντιθέσεων, λύσεων, ἐπιλόγων, καὶ τριῶν τῆς ῥητορικῆς μερῶν, πανηγυρικοῦ, δικανικοῦ, συμβουλευτικοῦ, τὴν αὐτὴν πρὸς ταῦτα παρέχει γυμνασίαν ἡ γνώμη, ἥνπερ καὶ ἡ χρεία. ἐκεῖ δὲ προειπόντες τοὺς κατὰ μέρος οὐ δεῖ καὶ ἐνταῦθα τοῖς αὐτοῖς λόγοις. καὶ μὴν καὶ ἡ τῶν κεφαλαίων διαίρεσις ἡ αὐτή.

Καὶ τῶν προγυμνασμάτων τῶν μὲν μερῶν ὄντων, τῶν δὲ μερῶν καὶ ὅλων, ἡ γνώμη εἴη ἂν τῶν μερῶν· οὐδὲ γὰρ αὕτη ἄνευ πραγμάτων ἑτέρων αὐτὴ ἐφ' ἑαυτῆς ὑπόθεσιν πληροῖ, πλὴν εἰ μὴ κατὰ τὴν ἀπόφασιν μόνην τις ἡγοῖτο ἀρκεῖν καὶ πρὸς ὅλην ὑπόθεσιν τὸ εἰπεῖν·

«μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι».

10—14 al. P 14 ἐκεῖ — 17 om. P

---

6 cf. Aphth. 25, 20 19 cf. Ac

---

1 ἐς O; ὡς P Ac Hom. ρ 218 2 ὅτι P; [ἔ rubr.]τι O 4 Trag. adesp. 181 Nauck [2] 5 ὡς O; ὡς τὸ Ac; om. P 6 Hom. M 243 ἀμύνεσθαι P Ac 7 σιρίκιον Vh Suidas; σειρίκιον O; σηρίκιον Pa c προστιθέασιν P 12 μέρη O 14 ἥπερ, καὶ supr., O 15 p. 23, 9 sq. 15. 16 exsp. τὰ κατὰ μέρος οὐ δεῖ . . τῶν αὐτῶν λόγων aut τὰ αὐτὰ λέγειν [καὶ μὴν — 17 αὐτή]? cf. 29, 3 sq. 21 μὴ P; καὶ O 22 τις P; ἥτις O ἡγεῖτο P; ἡγεῖσθαι del., mg. ἡγεῖετο (sic), O 23 cf. 27, 21

μᾶλλον δὲ ἂν εἰκότως τῶν μερῶν νομίζοιτο, ὥσπερ καὶ ἡ χρεία.

Εἴρηται μὲν οὖν πολλάκις καὶ παρὰ πάντων τῶν τέχνας γραψάντων, ὅτι τοῖς αὐτοῖς καὶ ἡ γνώμη διαιρεῖται κεφαλαίοις, οἷσπερ καὶ ἡ χρεία· ἐμνημονεύσαμεν δὲ τούτων καὶ ἐν τοῖς περὶ τῆς χρείας λόγοις.

⟨Περὶ ἀνασκευῆς καὶ κατασκευῆς.⟩

Μετὰ τὴν γνώμην τακτέον τὴν ἀνασκευὴν καὶ κατασκευήν. αὗται γὰρ ἐγγεγυμνασμένους ἡμᾶς ἤδη διὰ τῆς χρείας καὶ τῆς γνώμης ταῖς παραδειγματικαῖς καὶ ἐνθυμηματικαῖς ἀποδείξεσι λαβοῦσαι διδάσκουσι διὰ πλειόνων, πῶς δεῖ τοὺς πρὸς τὰς ἀντιθέσεις ἀγῶνας δέχεσθαι, δι' ὧν καὶ ἐν ταῖς τελείαις ὑποθέσεσι δυνησόμεθα τὰ παρὰ τῶν ἐναντίων φερόμενα λύειν τε καὶ πρὸς τὸ δοκοῦν ἡμῖν κατασκευάζειν εὐχερῶς.

Ἀνασκευὴ τοίνυν ἐστὶ λόγος ἀνατρεπτικὸς τοῦ πιθανῶς προτεθέντος λόγου καὶ κατασκευὴ τοὐναντίον λόγος κατασκευαστικὸς τοῦ πιθανῶς προτεθέντος λόγου. πρόσκειται δὲ τὸ πιθανῶς ἐν ἀμφοτέροις, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ ἀνασκευάσομεν οὔτε τὰ ὁμολογούμενα ψευδῆ, ἀλλὰ τὰ δεχόμενα τοὺς ἐφ' ἑκάτερα λόγους πιθανῶς· οὔτε γὰρ τὰ ὁμολογούμενα ἀληθῆ

8—15 = P 596, 22—597, 1 **16—17** = P 597, 1—2 **17—18** = P 602, 9—11 **18** — p. 30, 3 = P 597, 2—10

---

3 cf. Herm. 9, 18; Aphth. 25, 29 **9** R **16** sq. Ac; An. Seg. § 143; cf. Dox. 319, 4 sq. 356, 8 sq. **21** cf. Herm. 11, 4; Aphth. 27, 26; 30, 15

---

10 *ταῖς τε* P cf. 24, 12 sq. **11** *παραλαβοῦσαι διδάξουσι* P **13** *δι'* P; *περὶ* O **14** *παρὰ* P; *περὶ* O **21** *ἑκάτερα* P; *ἑκατέρους* O **22** *πιθανῶς* O; *πιθανούς* P *ἀληθῆ* om. P

ἀνατρέποντες ἀληθεῖς φανησόμεθα — οὐδεὶς γὰρ ὁ προσέξων — οὔτε τὰ ὁμολογούμενα ψευδῆ — οὐδεὶς γὰρ ὁ τοῦ πεισθῆναι δεόμενος —, καὶ αὖ πάλιν ἐπὶ τῆς κατασκευῆς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ κατασκευάσομεν — πάντες γάρ εἰσι περὶ αὐτῶν ἤδη προπεπεισμένοι — οὔτε τὰ ὁμολογούμενα ψευδῆ — ⟨οὐδεὶς γὰρ⟩ ἀνέξεται. δεῖ οὖν περὶ τὰ πιθανὰ τὴν τοιαύτην μελέτην στρέφεσθαι.

Ἰστέον δέ, ὅτι ἡ τούτων τάξις ἀδιάφορος· οὔτε γὰρ τὴν ἀνασκευὴν πάντως προτάξαντες εἶτα κατασκευάσομεν οὔτε αὖ τὸ ἐναντίον ὡρισμένως ποιήσομεν, ἀλλ' ἔχομεν ἐπὶ πολλῆς ἀδείας, ὁποτέρᾳ ἂν αὐτῶν ἐθέλοιμεν χρῆσθαι προτέρᾳ.

'Διαιρεῖται δέ' φασί 'ταῦτα τὰ προγυμνάσματα κεφαλαίοις τούτοις· τῷ ἀπιθάνῳ, τῷ ἀδυνάτῳ, τῷ ἀπρεπεῖ, τῷ ἀσυμφόρῳ, τῷ μαχομένῳ καὶ ἔτι τῶν περιστατικῶν μορίων τοῖς ἐμπίπτουσι, τόπῳ ⟨ἢ χρόνῳ ἢ προσώπῳ⟩ ἢ ἄλλῳ τοιούτῳ τινί.' ἰστέον δέ, ὅτι τῶν κεφαλαίων τούτων καὶ τάξιν ὡρισμένην ἐπειράθησαν ἀποδοῦναί τινες λέγοντες, ὡς δεῖ τὸ ἀπίθανον προτάττειν, εἶτα ἐπάγειν τούτῳ τὸ ἀδύνατον, εἶτα τὸ ἀσύμφορον, εἶτα

3—6 = P 602, 11—14 6—7 = P 597, 10. 11. 602, 14. 15
8—17 = P 597, 11—20 17 — p. 31, 13 al. P 597, 20—33

5. 6 Max. 26, 4 = P 8 sq. cf. Dox. 353, 24 sq. 13 cf. Theo. 76, 18; Herm. 11, 8; Aphth. 27, 30 13 sq. R = P; Ac = P 15 cf. Theo. 94, 7 17 cf. Theo. 93, 14

1. 2 post προσέξων add. P: ἀλλὰ πρὸς τῷ γελοῖον εἶναι ἔτι καὶ κολάσεως ἢ αἰσθήσεως κατὰ τὸν σταγειρίτην δεησόμεθα ὁμολογουμένως P 6 οὐδεὶς γὰρ add. P 7 στρέφεσθαι μελέτην P 602, 15 9 εἶτα O; μετὰ ταύτην P Dox. 10 αὖ O Dox.; αὖ πάλιν P 11 ὁποτέρα Pa Vh Dox.; ὁποτέρω O Pc χρῆσθαι P, mg. O; χρήσασθαι O Dox. 12 προτέρα Pa Vh Dox.; προτέρωι Pc; πρότερον O 13 φησὶ O 15 ἔτι P; ἐπὶ O 16 ἢ — προσώπῳ add. P 17 τοιούτων τινι O; τινὶ τούτων P; cf. 12, 6. 33, 3. 57, 11. 69, 6

τὸ μαχόμενον. ἄλλοι δὲ πάλιν καθ' ἑτέραν διαίρεσιν νενομισμένῃ τάξει καὶ αὐτοὶ περὶ ταῦτα ἐχρήσαντο. ἡμεῖς δὲ λέγομεν, ὅτι οὔτε πάντα ἐν ἁπάσαις ταῖς ἀνασκευαῖς τε καὶ κατασκευαῖς ἐμπεσεῖται τὰ κεφάλαια οὔτε αὖ ὡρισμένην ἔχει τάξιν, ἀλλὰ ταῦτα μέν ἐστιν, ἐξ ὧν ἀνασκευάζομεν καὶ κατασκευάζομεν, δεῖ δὲ τὸν γυμναζόμενον ἀκριβῶς, ὁπόσα ἐμπίπτει καὶ ὁποῖα, σκοπήσαντα αὐτὸν εἶναι τὸν τῆς τάξεως κύριον, μᾶλλον δὲ ἕπεσθαι τῇ τάξει τοῦ προκειμένου λόγου. οἷον ἀνασκευάζειν ἡμῖν πρόκειται τὸ περὶ τῆς Δάφνης, εἴτουν διήγημα. ἐνταῦθα ὀψόμεθα τὸ πρῶτον μέρος τοῦ διηγήματος, πότερον ἀδύνατόν ἐστιν ἢ ἀπίθανον καὶ οὕτω τῇ ἐργασίᾳ τοῦ κεφαλαίου χρησόμεθα. τοῦτο καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου <μέρους τοῦ> διηγήματος καὶ ἐφεξῆς ἐπὶ πάντων ὁμοίως· οὕτω γὰρ οὐ συγχυθήσεται ὁ λόγος, ἐπεὶ βιαζομένων ἡμῶν πρὸς τὴν τῶν κεφαλαίων τάξιν κατατέμνειν τὸ διήγημα, ἀλλὰ μὴ πρὸς τὴν τοῦ διηγήματος ἐπάγειν τὰ κεφάλαια, σύγχυσις ἀναγκαίως γενήσεται τὰ πρῶτα ὡς εἰκὸς τελευταῖα λεγόντων <ἡμῶν> καὶ τὰ τελευταῖα πρῶτα. δεῖ οὖν, ὅπερ ἔφην, τῇ τοῦ ὑποκειμένου λόγου τάξει καὶ ἡμᾶς ἀκολουθεῖν, ὥσπερ εὑρίσκομεν καὶ τὸν Δημοσθένην ποιήσαντα ἐν ἄλλοις

---

18 — p. 32, 14 = P 597, 33—598, 21 (18 *σύγχυσις* — 22 *εὑρίσκομεν* om. P)

---

1 cf. Theo. 77, 25; 93, 14 **3** cf. Theo. 93, 12; 105, 19 **3—6** = Sard. **7—18** cf. Sard. **11** cf. Theo. 76, 16; 105, 19 **18—20** cf. Sard. **18** sq. cf. Theo. 80, 24

---

3 *ἐν ἁπάσαις* Sard.; *ἀνὰ πάσαις* (sic) O **5** *ἔχουσιν* Sard. **9** *λέξει* O; correxi coll. l. 21 **10** non sana **13** *δευτέρου* P Sard.; *πρώτου* O **14** *μέρους τοῦ* add. Pa Vh Sard. (Pc: *διηγήματος μέρους*, om. *τοῦ*) **17. 18** *διηγήματος τάξιν* P **19** *ἡμῶν* addidi coll. l. 16 et 21 **21** — p. 32, 1 *τοῦτο δὲ καὶ Δημοσθένης ἐν ἄλλοις τε πεποίηκε καὶ ἐν* P

τε καὶ ἐν τῷ Κατὰ Τιμοκράτους λόγῳ. τὸν γὰρ νόμον τὸν Τιμοκράτους ὡς ἀσύμφορον διαβάλλων καὶ προελθὼν εἰς τοῦτο, μετὰ τὴν τοῦ νόμου ἐξέτασιν πάλιν ἄνωθεν καὶ ἐξ ἀρχῆς ἀρξάμενος κατὰ μέρος τὰ δοκοῦντα ἀσύμφορα εἶναι τίθησι καὶ ἀγωνίζεται.

Ἔτι δὲ πρὸς τούτοις κἀκεῖνο γνωστέον, ὅτι οὐδὲν κωλύσει καὶ ἓν μέρος τοῦ διηγήματος ὑπὸ πλείονα ἀνάγεσθαι κεφάλαια, οἷον εἰ τύχοι ὑπὸ ⟨τὸ⟩ ἀσύμφορον καὶ ὑπὸ τὸ ἀπίθανον καὶ ὑπὸ ἕτερον. καὶ χρησόμεθα μὲν αὐτῷ ἐν ἅπασι, τῇ ⟨δὲ⟩ περὶ τὴν ἐργασίαν διαφορᾷ τὴν ἐξαλλαγὴν μηχανησόμεθα. τὸ δὲ ἀγωνιστικώτατον καὶ μάλιστα ἡμῖν συμβαλλόμενον κεφάλαιόν ⟨ἐστι⟩ τὸ καλούμενον μαχόμενον, ὅπου τοῦτον ὥσπερ ἀντιλέγοντα αὐτὸν ἑαυτῷ καὶ ἐναντίως δείκνυμεν λέγοντα. καὶ τούτου μάρτυς ὁ Δημοσθένης, ἐν τῷ αὐτῷ λόγῳ μετὰ τὴν ἄλλων νόμων ἐξέτασιν, οἷς ἐναντίος ἦν ὁ Τιμοκράτους, ὑπ' αὐτοῦ τοῦ Τιμοκράτους πρότερον εἰσενεχθέντα ἤδη νόμον ἀναγινώσκων καὶ δεικνὺς τὸν νῦν ἐναντίον.

14—18 ∼ P 598, 21—24

6—11 Sard. 7 cf. Theo. 76, 14; 105, 20 7—14 cf. Ac 13 cf. Theo. 77, 22

---

1 *λόγῳ* om. P 2 *τὸν* P; *τοῦ* O *προελθὼν* P; *πρὸς ἐλθὼν* O 4 *καὶ* om. P *κατὰ μέρος* etiam post 5 *εἶναι* P 6 *πρὸς δὲ τούτῳ κἀκεῖνο* Sard.; *δεῖ δὲ κακεῖνο ἐπισημήνασθαι* P 7 *κωλύει* P Ac Sard. *ἓν μέρος* P Ac Sard.; *ἐν μ*[ε] O 7. 8 *κεφάλαια ἀνάγεσθαι πλείονα* Sard. *τύχοι, η* supr., O *τὸ* add. P Sard. 9 *ἕτερον* O Vh; *ἕτερα* Pac Sard. 10 *δὲ* add. P Ac Sard. 11 *μηχανησόμεθα* P Ac Sard.; *μαθησόμεθα* O *ἀγωνιστικώτατον* P Ac; *ἀγωνικώτερον* O 12 *ἐστι* add. P, (ante *κεφάλαιον*) Ac 13 *τοῦ* O: manca est oratio, cf. Ac et P 13. 14 *ὅπου ἡμεῖς ἀνασκευάζοντες τὸν τὴν ἱστορίαν γράψαντα αὐτὸν ἑαυτῶι ἐναντία λέγοντα δείκνυμεν* Ac 14 *ἐναντίως προφέροντα τὸν τὴν ἱστορίαν γράφοντα τοῖς προειρημένοις ἡμεῖς ἀνασκευάζοντες δείκνυμεν* P

Συλλάβοι δ' ἂν πολλάκις ⟨καὶ⟩ ἡ ἐκ τῶν περιστατικῶν μάχη ἐλεγκτικὸν ποιοῦσα τὸν λόγον, οἷον ἐν ὁποίοις τόποις Δάφνη ἦν ἢ ἐν ὁποίοις χρόνοις ἢ εἴ τι ἄλλο τοιοῦτον ἐμπίπτει.

Ἔτι κἀκεῖνο γνωστέον, ὡς οἱ μὲν κατὰ μέρος τιθέντες ἠγωνίσαντο, οἱ δὲ πρὸς ὅλον ἐμαχέσαντο τὸν λόγον. ἐμοὶ δὲ δοκεῖ μᾶλλον ἀμείνων ἡ κατὰ μέρος εἶναι μάχη· ἀγωνιστικώτερος γὰρ ⟨οὕτως⟩ ὁ λόγος γίνεται. οὐδὲν δὲ κωλύει μετὰ τὸ προοίμιον διηγησαμένους τὸν ⟨ὅλον⟩ λόγον εἶτα οὕτω πάλιν τιθέναι κατὰ μέρος· συμβήσεται γὰρ οὕτως σαφεστέραν τὴν ἐξέτασιν γίνεσθαι.

Τοῖς δὲ αὐτοῖς κεφαλαίοις καὶ ἐν τῇ κατασκευῇ διὰ τῶν ἐναντίων ἐπιχειρημάτων χρησόμεθα.

Τριῶν δὲ ὄντων, ὡς τοῖς πολλοῖς δοκεῖ, τῶν τῆς ῥητορικῆς μερῶν ⟨περὶ⟩ τὸ δικανικὸν μᾶλλον ἡ μελέτη ἐν τοῖς προγυμνάσμασι τούτοις γίνεται· τὸ γὰρ συμφέρον, ὅπερ ἐστὶ τοῦ συμβουλευτικοῦ, οὐ πρωτοτύπως ἐνταῦθα ἐξετάζεται, ἀλλ' ἐπὶ ταῖς ἄλλαις ἀποδείξεσιν εἰσφέρεται.

Καὶ πέντε ὄντων τῶν τοῦ λόγου μερῶν εὕροις ἂν τῶν ἄλλων μελέτην ἐκτὸς τῶν ἐπιλόγων· καὶ γὰρ προοιμιακῶν ἐννοιῶν γυμνασία γένοιτ' ἂν καὶ διηγήσεων

1—8 = P 598, 24—30 14–18 = P 599, 2—7 19 — p. 34, 21 ∼ P 599, 7—26

1—8 cf. Ac 1 cf. Theo. 94, 7 sq. 5 cf. Theo. 76, 16 12 cf. Theo. 76, 9; Herm. 11, 19

---

1 *συλλάβοι* P Ac; *συλλάβῃ* O *πολλάκις* om. P Ac *καὶ* add. P Ac 2 *μάχη πολὺ* P Ac *ποίοις* P Ac 3 *δάφνη* O; *ἡ δάφνη* P; om. Ac *ἦν* et *ἐν ὁποίοις* om. P Ac *τοιοῦτον* om. P Ac 5 *ἔτι καὶ τοῦτο προσθετέον* P 6 *ἐμαχήσαντο* O 8 *οὕτως* add. P (*οὗτος* Pc) *γενήσεται* Ac 9 *ὅλον* add. Brinkmann, cf. 36, 11 14 sq. *ὄντων τῶν τῆς ῥητορικῆς εἰδῶν ὡς πολλάκις εἰρήκαμεν περὶ τὸ* P 16 *γίγνοιτο* P 17 *προτοτύπως* O; *προηγουμένως* P 21 *γυμνασία* Pc; *γυμνάσια* O; *προγυμνασία* PaVh

καὶ ἀντιθέσεων καὶ λύσεων· πρὸς δὲ τὴν τῶν ἐπιλόγων διδασκαλίαν ὁ κοινὸς ἁρμόσει τόπος, περὶ οὗ μετὰ ταῦτα ἐροῦμεν.

Εἰρήκαμεν γὰρ πολλάκις, ὅτι τῶν προγυμνασμάτων τὰ μέν ἐστι μέρη, τὰ δὲ καὶ μέρη καὶ ὅλα. ἡ τοίνυν ἀνασκευὴ καὶ κατασκευὴ τῶν ὡς μερῶν ἐμπιπτόντων ἐστὶ μόνων, καίτοι ⟨με⟩ οὐ λέληθεν ὡς εἰσί τινες, οἳ νομίζουσι δύνασθαι ταῦτα τὰ προγυμνάσματα καὶ αὐτὰ ἐφ' ἑαυτῶν πληροῦν ὑπόθεσιν. καὶ τούτου τεκμήριον λέγουσιν εἶναι τὸν Ὑπὲρ τῶν τεσσάρων Ἀριστείδου λόγον, ὃν ἀνασκευὴν ἡγοῦνται. ἀλλ' οἱ τοιοῦτοι δῆλοί εἰσι τὴν τοῦ ἀντιρρητικοῦ καλουμένου εἴδους ἀγνοοῦντες [καὶ] διαίρεσιν καὶ ἀνασκευὴν ⟨τὴν⟩ ἀντίρρησιν ὀνομάζοντες. ὥστε ταῦτα τῶν ὡς μερῶν παραλαμβανομένων ἂν εἴη μόνων καὶ τῶν οὐδέποτε ἐφ' ἑαυτῶν δυναμένων πληροῦν ὑπόθεσιν, εἰ καὶ δοκεῖ ἐξ ἁπάντων σχεδὸν τῶν τοῦ λόγου μερῶν συνίστασθαι. ἀλόγως δὲ οἱ διὰ πάντων μὲν ἐπεξιόντες, μὴ ἐξετάζοντες δὲ τὰς διαφοράς, μηδ' ὁρῶντες, τί μὲν ἐνταῦθα πρὸς τὸ ὅλον ἐλλείπει, τί δ' ἀντιρρήσεως ἴδιον, ἐπὶ τὸ ἀντιρρητικὸν εἶδος τὸν λόγον ἀνάγουσι.

Χρὴ δ' ἐν τούτοις τοῖς γυμνάσμασιν ἤδη ἐναγωνιω-

22 — p. 35, 4 om. P

5 cf. Ac 9 sq. cf. Ac; schol. Aristid. III 437, 15 sq. Dind. 22 — p. 35, 4 Sard. (inc. καὶ γὰρ ἐναγωνιωτέροις ἐν τούτοις ἢ κατὰ)

2 γυμνασίαν P ἀσκήσει ἡμᾶς τόπος P 4 γάρ: fort. δὲ 7 με add. P 10 ἀριστείδου ante ὑπὲρ P 12 ἀρρητικοῦ O 12. 13 εἴδους διαίρεσιν ἀγνοοῦντες P 13 ἀνασκευὴν τὴν P; κατασκευὴν O 14 ταῦτα· ᾗι καὶ προείρηται P; αὗται O 15 μόνον O 16 [λόγον del.] ὑπόθεσιν O 17 ἀλόγως δὲ P; ὥστε O 18 ἐπεξιόντες P; ἀξιόντες O 21 ἀπάγουσι O P; corr. Finckh coll. 56, 1 22 χρὴ (aut δεῖ) Brinkmann; χρεία O

τέροις ἢ [καὶ] κατὰ τὰς χρείας καὶ τὰς γνώμας προοιμίοις χρῆσθαι· ὅσῳ γὰρ ἐπὶ τὰ μείζω προερχόμεθα ἀπὸ τῶν ἐλαττόνων, τοσοῦτον καὶ πλείονος ἐπιμελείας περὶ ἕκαστον τῶν εἰρημένων ⟨δεόμεθα⟩.

⟨Περὶ κοινοῦ τόπου.⟩

Τὸν κοινὸν τόπον οἳ μὲν μετὰ τὴν ἔκφρασιν ἔταξαν, ἕτεροι δὲ πρὸ τῆς ἀνασκευῆς τε καὶ κατασκευῆς, ἄλλοι δὲ ἄλλως, οἱ δὲ ἀρίστην αὐτῷ τάξιν ἐπιτιθέντες ἐπὶ τῇ ἀνασκευῇ καὶ κατασκευῇ τοῦτον παραλαμβάνουσι. καὶ δικαίως· εἰ γὰρ τὰ προγυμνάσματα διὰ τοῦτο τὴν ἀρχὴν εὕρηνται, ἵνα τούτοις γυμναζόμενοι πρότερον εἶθ' οὕτως τοῖς τελείοις ἐπιχειρῶμεν λόγοις, καὶ εἰ πάντως τῶν γυμνασμάτων ἕκαστον πρὸς ἑνὸς τῶν τοῦ λόγου μερῶν μελέτην ἐπιτηδείως φαίνεται ἔχειν, ἐχρῆν τὴν ἐν τοῖς λόγοις ἀκολουθίαν καὶ τάξιν μιμησαμένους ἐπὶ τῇ ἀνασκευῇ τε καὶ κατασκευῇ τάττειν τὸν κοινὸν τόπον. εἰ γὰρ πέντε ⟨τὰ⟩ μέρη τοῦ λόγου, προοίμια, διηγήσεις, ἀντιθέσεις, λύσεις, ἐπίλογοι, ὧν τελευταῖον μέρος τὸ τῶν ἐπιλόγων, εἰκότως μετὰ τὸ τοῖς ἄλλοις ἐγγυμνα-

---

6 — 36, 14 al. P 607, 16—28

---

6 sq. cf. Dox. 370, 1 sq.

---

1 *καὶ* om. Sard. **4** *ἑκάστου* O *λεγομένων* Sard. *δεόμεθα* add. Sard. sequuntur in P (simil. Ac Sard.): *δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς ἡνίκα πρὸς* (*τὰ* add. Pc) *ἔνδοξα πρόσωπα ἔχομεν, οὐ δεῖ ἀκράτως* (*ἀκράτῳ* Ac Sard.) *τῇ τραχύτητι χρῆσθαι προοιμιαζομένους, ἀλλὰ τῇ ποιότητι τῶν ὑποκειμένων προσώπων, ἀφ' ὧν τὸ ἀνασκευαζόμενον πρόεισι, μετρεῖν τὸν λόγον. ἐπεὶ τυχόν, ἐὰν νέος ᾖ ὁ ἀνασκευάζων, οὐκ ἔχει παρρησίας πολλὴν ἄδειαν, ἀλλ' οὐδ' ἂν πρεσβύτης· ὀφείλει γὰρ καὶ οὗτος ἠθικῶς καὶ ὑφειμένως πως κατασκευάζειν τὸν λόγον*, cf. Praef. cap. B IV v. fin. **8** *ἐπὶ* scripsi coll. 15; *ἐν* O **9** *περιλαμβάνουσι* O **11** *ἐγγεγυμνασμένοι* Brinkmann **12** *πάντως* ante 14 *ἐχρῆν* P **13** *ἑνὸς* P; *ἓν* O *τοῦ πολιτικοῦ λόγου* P **14** *ἐπιτήδειον* O **17** *μερῶν* O

σθῆναι διὰ τῶν προειληφότων καὶ μάλιστα μετὰ τὸ διδαχθῆναι, πῶς δεῖ τοῖς ἀγῶσι κεχρῆσθαι καὶ πῶς διαμάχεσθαι χρὴ πρὸς τὰς δοκούσας εἶναι ἰσχυρὰς ἀντιθέσεις, ἅπερ ἦν ἐν τῇ ἀνασκευῇ τε καὶ κατασκευῇ, δεῖ τὸ γυμνάζον ἡμᾶς πρὸς τοὺς ἐπιλόγους προγύμνασμα παραλαμβάνειν, ὅπερ ἐστὶν ὁ κοινὸς τόπος. ὅπως μὲν γὰρ προοίμια ἐργαστέον, ἐδίδαξε καὶ ἡ χρεία καὶ ἡ γνώμη· ὅπως δὲ δεῖ κεχρῆσθαι τοῖς διηγήμασιν, ἐμάθομεν ἐν αὐτῷ τῷ προγυμνάσματι τῷ καλουμένῳ διηγήματι καὶ μέντοι ⟨καὶ⟩ ἐν τῇ ἀνασκευῇ τε καὶ κατασκευῇ πρὶν κατὰ μέρος ἀγωνίσασθαι τὸν ὅλον λόγον, πρὸς ὃν ἡ μάχη, διηγησάμενοι· πρὸς δὲ ἀντιθέσεις καὶ λύσεις ἐγύμνασεν ἡ ἀνασκευή τε καὶ κατασκευή. λείπεται τοίνυν ὁ ἐπίλογος, οὗ πληροῖ χρείαν ὁ κοινὸς τόπος.

Κοινὸς δὲ τόπος ἐστὶν αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου ἀδικήματος· ⟨ἄλλοι δ' οὕτως ὁρίζονται· κοινὸς τόπος ἐστὶν αὔξησις ὁμολογουμένου ἀδικήματος⟩ ἢ ἀνδραγαθήματος.

Πρῶτον οὖν λεκτέον, διὰ τί κοινὸς λέγεται τόπος. κοινὸς μὲν οὖν, ὅτι οὐ κατὰ ὡρισμένου προσώπου ἐστίν, οἷον κατὰ Τιμάρχου πόρνου ἢ κατὰ Λυκόφρονος μοιχοῦ, ἀλλ' ἁπλῶς κατὰ πόρνου ἢ μοιχοῦ· τόπος δέ, ὅτι τόπος τὰ ῥητορικὰ ἐπιχειρήματα λέγεται, ἵν' ᾖ κοινὸν ἐπιχεί-

---

15—16 = P 607, 28—29 **20—22** = P 609, 5—8 **22** — p. 37, 3 = P 608, 31—609, 4 (inc. *εἴρηται δὲ κοινὸς τόπος διὰ ταῦτα ἢ ὅτι*)

---

15 sq. Ac; Dox. 371, 11 sq.; Max. 32, 4 sq. **20** cf. Herm. 12, 4; Aphth. 32, 21 **22** — 37, 3 Ac; cf. Sard. = Theo. 106, 14; cf. Dox. 376, 15; Max. 32, 28 sq.

---

15 *τόπος δέ ἐστι κοινὸς* P **16** *ἀδικήματος* P; *διηγήματος* O **16** sq. addidi coll. p. 37, 4 et P 607, 30 sq. **22** *ἢ* P; *καὶ* O **23** *λέγονται* P

ρημα, ἢ ὅτι ὥσπερ ⟨ἀπὸ τόπου ἤτοι⟩ ἀπό τινος κοινοῦ χωρίου ἐντεῦθεν ὁρμώμενοι καὶ τοὺς κατὰ τῶν ὡρισμένων προσώπων ῥᾳδίως ποιούμεθα λόγους.

Εἴπομεν δέ, ὅτι ὁριζόμενοί τινες εἰρήκασι τὸν κοινὸν τόπον αὔξησιν ὁμολογουμένου ἀδικήματος ἢ ἀνδραγαθήματος. οἱ δὲ τοῦτο λέγοντες τοῖς νοῦν ἔχουσι τῶν τεχνογράφων ἁμαρτάνειν ἔδοξαν· 'οὐ γὰρ δεῖ' φασὶν 'ὁμολογουμένων ἀγαθῶν αὔξησιν ποιεῖσθαι ἐν τῷ κοινῷ τόπῳ, ἐπεὶ λήσομεν ἐγκωμίῳ, ὅπερ τοῦ πανηγυρικοῦ μέρους τὸ μέγιστον, ἐν κοινῷ τόπῳ χρώμενοι. τί γάρ ἐστιν ἐγκώμιον ἢ αὔξησις τῶν ὁμολογουμένων ἀγαθῶν; λεκτέον οὖν πρὸς τοὺς λέγοντας δεῖν ὑπέρ τινων ἐν κοινῷ τόπῳ ποιεῖσθαι τοὺς λόγους· πότερον ὑπὲρ αὐτῶν ἐροῦμεν, καθ' ὧν ἤδη εἰρήκαμεν, ἢ ὑπὲρ ἑτέρων; εἰ μὲν γὰρ ὑπὲρ αὐτῶν, καθ' ὧν καὶ ἡ κατηγορία γεγένηται, οἷον κατὰ τοῦ φονέως καὶ ὑπὲρ τοῦ φονέως, οὐκέτι τὸ πρᾶγμα ὁμολογεῖται· εἰ δὲ ὑπὲρ ἑτέρων τῶν τὰ ὁμολογούμενα ἀγαθὰ διαπεπραγμένων, τῷ ἐγκωμίῳ μᾶλλον ἁρμόζων ὁ τοιοῦτος λόγος φανεῖται. ὥστε οὐκ ἂν δειχθείη τὸ δεῖν ἐν κοινῷ τόπῳ λέγειν ὑπέρ τινος, ἀλλὰ πάντως τὴν καταδρομὴν χρὴ γίνεσθαι ⟨ἐν αὐτῷ⟩ κατὰ ἀνθρώπου

4—14 ∾ P 607, 30—608, 5 14—17 ∾ P 608, 5—8 17 — p. 38, 2 = P 608, 8—14

---

1 cf. Theo. 106, 14; An. Seg. § 169 7 sq. cf. Dox. 390, 25 sq. 12 cf. Theo. 106, 6; Herm. 12, 5 21 — p. 38, 2 cf. Sard.

---

1 ἀπὸ τόπου ἤτοι add. P 2 καὶ O P; om. Ac Sard. 3 ῥαδίως post λόγους P, om. Ac 6 τὸν νοῦν ἔχοντες O 7 φησὶ O 9 λύσομεν O; corr. Brinkmann, cf. 45, 12. 62, 4 fort. ὅπερ ἐστὶ, cf. 24, 14. 36, 4 13 ὁπότερον O 19 φανεῖται λόγος P; λόγος φαίνεται O 19. 20 οὐκ ἂν ἐν κοινῶ τόπω λέγειν δειχθείη P (λέγειν δειχθείην Vh; ·δειχθείη λέγειν Pc); οὐκ ἂν δεχθείη τὸ δεῖν ἐκείνω τῶ τόπω λέγειν O 21 τὴν om. P ἐν αὐτῶι add. P

ὁμολογουμένως ἠδικηκότος καὶ ἐξεληλεγμένου, ὥστε καὶ ὡς ἐν δευτερολογίᾳ τοὺς λόγους ποιησόμεθα.'

Ἄλλοι ⟨δ'⟩ ὡρίσαντο οὕτως· κοινὸς τόπος ἐστὶν αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου ⟨κακοῦ⟩ πράγματος. οὗτοι δὲ ὑπὸ τὸν κοινὸν τόπον ἄγουσι πάντα τὰ διαβολῆς ἄξια, ἀγνοοῦντες ὅτι ἐστὶ τινὰ πράγματα, ἃ οὐχ ὑπὸ κοινὸν τόπον ἀλλ' ὑπὸ ψόγον ἀχθείη γε δικαιότερον. ταῦτα δέ ἐστιν, ἐφ' οἷς γινομένοις οὐ μία τιμωρία παρὰ τῶν νόμων ὥρισται· οἷον κατὰ οἰνόφλυγος ἢ κατὰ τοῦ ὅλως πράττοντός τι πρᾶγμα φαῦλον καὶ μέμψεως ἄξιον οὐ μέντοι γε παρὰ νόμον τινὰ τὸν καὶ τιμωρίαν ἐπιβάλλοντα τῷ πράττοντι ἀπηγορευμένως οὐκ ἄν τις κοινῷ τόπῳ χρῷτο μᾶλλον ἢ ψόγῳ, ἀλλὰ τυχὸν κατὰ μοιχοῦ καὶ κατὰ ἱεροσύλου καὶ κατὰ ἄλλων, καθ' ὧν καὶ τὰ ἐπιτίμια παρὰ τῶν νόμων τέτακται. διαφέρει γὰρ ὁ κοινὸς τόπος τοῦ ψόγου τούτῳ μάλιστα, ⟨καθ'⟩ ὃ ἐν μὲν τῷ κοινῷ τόπῳ δικασταί εἰσιν οἱ ἐπὶ τιμωρίᾳ τοῦ ἡμαρτηκότος παρακαλούμενοι, ἐν δὲ τῷ ψόγῳ ἀκροαταὶ πρὸς μῖσος κινοῦνται αὐτοῦ, καθ' οὗ ἡ διαβολὴ γίνεται. ἔτι δὲ ⟨καὶ⟩ κατ' ἐκεῖνο διαφέρει, ὅτι ἐν μὲν τῷ κοινῷ τόπῳ ἀόριστόν ἐστι τὸ πρόσωπον, ἐν δὲ τῷ ψόγῳ ὡρισμένον, ὅταν προσώπου διαβολήν, ἀλλὰ μὴ [μόνου] πράγματος ποιώμεθα.

Διαιροῦντες δὲ τὸν κοινὸν τόπον εἰρήκασιν οὕτω·

3—19 ∼ P 608, 14—28 **19—22** = P 608, 28—31 **23** — p. 39, 17 ∼ P 609, 8—20

---

2 cf. Aphth. 32, 24 **15** cf. Aphth. 40, 8 **15—22** cf. Ac **19** cf. Theo. 106, 22 **23** cf. Theo. 106, 10 sq.; Max. 33, 1 sq.

---

3 *δὲ καὶ οὕτως ὡρίσαντο* P **4** *κακοῦ* add. P **6** *⟨κακὰ⟩ πράγματα?* **7** [*τ* del.]*ἀχθείη* O **8** exsp. aut *οὐ* [*μία*] aut *οὐδεμία*; at cf. E. Bruhn *Rhein. Mus.* 49, 168 sq. **8. 9** *τὸν νόμον* O **11** *παρὰ* Brinkmann; *κατὰ* O **16** *καθ'* add. P Ac **19** *αὐτῶ* O **19. 20** *ἔτι δὲ καὶ κατὰ τοῦτο* P **22** *μόνον* om. P

‘τῶν κοινῶν τόπων, φαμέν, οἳ μέν εἰσιν ἁπλοῖ, οἳ δὲ διπλοῖ· ἁπλοῖ μὲν οἷον κατὰ ἱεροσύλου ἢ κατὰ προδότου· διπλοῖ ⟨δ'⟩ οἷον κατὰ ἱερέως ἱεροσύλου ἢ κατὰ στρατηγοῦ προδότου’. ἁμαρτάνουσι δὲ καὶ οὗτοι τῇ τοῦ στρατηγοῦ ἢ ἱερέως προσθήκῃ οἰόμενοι διπλοῦς ἀποτελεῖν τοὺς κοινοὺς τόπους, οἷον εἰ λέγοι τις κατὰ μοιχοῦ φονέως — ἐνδέχεται γάρ — ἢ κατὰ κλέπτου φονέως ἢ εἴ τι ἄλλο τοιοῦτον, ἐν ᾧ δύο εἰσὶν ἀδικήματα, ὧν καὶ ἑκάτερον ἰδίαν κρίσιν ἐπιδέχεται. κατὰ στρατηγοῦ δὲ προδότου ἢ κατὰ ἱερέως ἱεροσύλου οὐκ ἂν καλοῖτο διπλοῦς τόπος· ἡ γὰρ τοῦ ἱερέως καὶ ἡ τοῦ στρατηγοῦ προσθήκη χορηγίαν μὲν ἂν παρέχοι τῇ καταδρομῇ πλείονα — ἄλλως γὰρ κατὰ ἁπλῶς προδότου καὶ ἄλλως κατὰ στρατηγοῦ προδότου τὸν λόγον εὐπορήσομεν —, διπλοῦς δὲ οὐκ ἂν ἀποτελοίημεν τόπους, ἐπεὶ περιαιρεθέντος τοῦ τῆς προδοσίας ὀνόματος κατὰ στρατηγοῦ ἢ κατὰ ἱερέως μόνου τί ἄν τις καὶ λέγοι;

Ἐπειδὴ δὲ εἴρηται, ὅτι ἐπιλόγου πληροῖ χρείαν ⟨ὁ κοινὸς τόπος⟩ καὶ ὅτι ὡς ἐν δευτερολογίᾳ τοῦτον ἐργαστέον, ζητητέον, εἰ ἐν τῷ κοινῷ τόπῳ καὶ προοιμιασόμεθα ἢ εὐθὺς ἥξομεν [καὶ] ἐπὶ τὴν ἄλλην διαίρεσιν. φαμὲν ⟨οὖν⟩, ὅτι δεῖ καὶ προοιμιακαῖς ἐννοίαις κεχρῆσθαι, εἰ καί τινες εὐθὺς ἦλθον ἐπὶ τὰ πράγματα· εὑρί-

---

18—21 = P 609, 20—24   **22** — p. 40, 1 al. P 609, 24—25

---

14 cf. Theo. 109, 11   **18** sq. cf. Theo. 106, 26 sq.; Aphth. 32, 24   **22** cf. Theo. 107, 15

---

1 fort. *φασίν*   **12** *παρέχει* O   **13** post alt. *κατὰ* repetit O: *ἁπλῶς προδότου καὶ ἄλλως κατὰ ἁπλῶς*   **14** fort. [*τῶν*] *λόγων*, cf. Theo. 109, 12   **15** *ἀποτελείημεν* O   **18** *ἐπεὶ δὲ* P   p. 36, 14. 38, 2   **18. 19** *ὅτι ἐπιλόγου χρείαν πληροῖ ὁ κοινὸς τόπος* P   **20. 21** *προοίμιον ἐργασόμεθα* P   **21** *καὶ* om. P   *ἥξομεν* post *διαίρεσιν* P   **22** *οὖν* add. P; cf. 41, 3

σκομεν γὰρ τούς τε ἄλλους ῥήτορας καὶ αὐτὸν τὸν Δημοσθένην πολλάκις μετὰ τὸ τὴν πᾶσαν ἐργάσασθαι ὑπόθεσιν ἐν αὐτῷ τῷ μέλλειν ἅπτεσθαι τῶν ἐπιλόγων οἷον προοιμίοις τισὶ κεχρημένον, δι' ὧν προσέχειαν ἐργάζεται. καὶ ἔστιν ὅλως καὶ ἡ τῶν προοιμίων καὶ ἡ τῶν ἐπιλόγων χρῆσις παρ' αὐτῷ ⟨ἀ⟩διάφορος· ταῖς τε γὰρ προοιμιακαῖς ἐννοίαις καὶ ἐν ἀρχῇ καὶ ἐν μέσοις κέχρηται τοῖς λόγοις καὶ δὴ καὶ πρὸς τῷ τέλει, καὶ [πρὸς] αὐτοῖς ἤδη τοῖς ἐπιλόγοις ἔν τε τοῖς μέσοις καὶ ἐν ⟨τῷ⟩ τέλει. οὐδὲν ἂν ⟨οὖν⟩ κωλύοι καὶ ⟨ἐν κοινῷ τόπῳ⟩ προοιμιάζεσθαι. εἰ δέ, ὅτι [καὶ] δευτερολογία ἐστί, καὶ διὰ τοῦτο παραιτοῦνται τὰ προοίμια, τεχνικῷ μὲν κέχρηνται λόγῳ· πάντα γάρ, ὅσα διὰ προοιμίων δεῖ ἐργάζεσθαι, ὁ πρότερος ἔσχε λόγος· ὅμως ⟨δὲ⟩ καὶ οὕτως ⟨χρή τινας εἶναι προοιμιακὰς ἐννοίας, ὡς ἂν μὴ καὶ οὕτως⟩ ἀκέφαλος φαίνηται ὁ λόγος· δέδεικται γάρ, ὅτι κεφαλῆς τάξιν ἐπέχει τὰ προοίμια, καὶ φαίνεται καὶ ὁ Δημοσθένης ἐν ταῖς δευτερολογίαις αὐτοῖς χρησάμενος, οἷον ἐν τῷ Κατὰ Ἀνδροτίωνος καὶ ἐν τῷ Κατὰ Τιμοκράτους, καὶ μέντοι καὶ ἐν τῷ Πρὸς Λεπτίνην, εἰ καὶ βραχύ,

1 — p. 47, 3 = P 609, 25—614, 19

5 sq. cf. An. Seg. § 211. 236; Syrian. II 111, 13 R. 16 sq. cf. Plat. Phaedr. 264 C; An. Seg. § 26; P VII 697, 13 W.

5 ὅλως add. ante ἐργάζεται P ὅλως καὶ om. P 5. 6 ἡ τῶν om. Pa Vh, ἡ om. Pc 6 ἀδιάφορος P; διάφορος O καὶ (pro ταῖς τε) P 7 ἀρχῇ P; ἀρχαῖς O 8 τοῖς λόγοις om. P 8. 9 τέλει· καὶ μὴν καὶ τοῖς ἐπιλόγοις ἔν P 9 μέσοις πολλάκις P τῷ add. P 10 οὐδὲν ἂν οὖν κωλύοι καὶ ἐν κοινῷ τόπωι P; οὐδ' ἕτερον ἂν κωλύει καὶ O 11 pr. καὶ om. P alt. καὶ om. P 12 τεχνικῷ P; τεχνικῶς O 13 δεῖ P; δύναται O; δυνατὰ? Brinkmann δεῖ ante διὰ P 14 πρό[τρ] Vh; πρότερον O Pa c λόγος P; λόγον O 14. 15. 16 ὅμως δὲ — μὴ ἀκέφαλος καὶ οὕτω φαίνοιτο ὁ λόγος P 16 δέδεικται: non ab ipso Nicolao, cf. An. Seg. § 26; δεδείξεται Brinkmann

ὅμως γοῦν οἷον προοίμιον ἔταξε. τούτου δὲ δειχθέντος ζητητέον, εἰ ἑνὶ χρησόμεθα προοιμίῳ ἐν τῷ κοινῷ τόπῳ ἢ καὶ πλείοσιν. φαμὲν οὖν, ὅτι ἔξεστι ⟨καὶ ἑνὶ⟩ καὶ πλείοσιν· εἰ γὰρ μελέτης ἕνεκεν παραλαμβάνεται, οὐδὲν κωλύει ἑνὶ καὶ πλείοσιν ἐγγυμνάζεσθαι. οὐχ ὥρισται δὲ ἡ τῶν προοιμίων ποσότης, ἀλλ' ἡ χρεία τὸ πλέον ἢ [τὸ] ἔλαττον ὁρίζει τῷ ῥήτορι· αὐτίκα γοῦν καὶ μέχρι πέντε προῆλθόν τινες προοιμίων, καὶ οὐδὲν ὁ λόγος ἐβλάβη. ὥστε, ⟨ὅπερ⟩ εἶπον, καὶ πλείοσι προοιμιακαῖς ἐννοίαις [καὶ] ἐν τῷ κοινῷ τόπῳ χρησόμεθα. εἰ δὲ ἀρετὴ προοιμίου τὸ ἴδιον αὐτὸ τῆς ὑποθέσεως εἶναι καὶ μὴ πάσαις τὸ αὐτὸ ἁρμόζειν ὑποθέσεσιν, ⟨ἐν⟩ τῷ κοινῷ τόπῳ — οὐχ ὡρισμένου δὴ τοῦ προσώπου, καθ' οὗ ποιούμεθα τοὺς λόγους — πῶς ἂν ἰδιάζοντα εὑρεθείη προοίμια; λέγομεν τοίνυν, ὅτι δεῖ ἐν τῷ κοινῷ τόπῳ ἀντὶ ὡρισμένου προσώπου τῇ τοῦ πράγματος ποιότητι προσαρμόζειν τὰ προοίμια, οἷον ἵνα ἁρμόζῃ κατὰ παντὸς μέν, εἰ τύχοι, μοιχοῦ, μηκέτι δὲ τὰ αὐτὰ ⟨καὶ⟩ κατὰ [τοῦ] προδότου, ἢ κατὰ προδότου μέν, μηκέτι δὲ κατὰ ἱεροσύλου καὶ ὅλως ἵνα μόνοις τοῖς ὑποκειμένοις πράγμασιν ἐπιτήδεια φαίνοιτο· καὶ οὕτως ἡ ἰδιότης αὐτοῖς γενήσεται. πᾶν δὲ προοίμιον, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἐκ τεσσάρων λαμβάνεται τούτων· ἢ ἀπὸ τοῦ πράγματος ἢ ἀπὸ τοῦ ἀντι-

4 sq. cf. Herm. 12, 14 sq.; Sard.; Anon. VII 68, 13 W. 4 cf. Aphth. 32, 26 10 cf. Theo. 105, 28 14 — p. 42, 2 cf. Ac; cf. Sard. 21 sq. An. Seg. § 7; cf. Ruf. I 2 p. 400, 4 sq. Sp.-H.; Anon. VII 54, 16 W.

3 *καὶ ἑνὶ ἔξεστι* P 4 *παραλαμβάνηται* O 5 *ἄλλως τε καὶ ἐν ταῖς τελείαις ὑποθέσεσιν* ante *οὐχ* add. (om. *δὲ*) P; fort. *δὲ ⟨οὐδ' ἐν ταῖς τελείαις ὑποθέσεσιν⟩ ἡ* 6 *πλεῖον* P 7 *τὸ* om. P *γοῦν* P; *οὖν* O 9 *ὅπερ* add. P 10 *καὶ* om. P *εἰ* Brinkmann coll. 35, 16; *ἡ* O P *τοῦ προοιμίου ἀρετὴ* P 12 *ἐν* add. P 13 *δή* scripsi; *δὲ* O Pa Vh (verba desunt in Pc) 17 *ἁρμόζῃ* P; *ἁρμόζει* O; *ἁρμόττῃ* Ac 18 *καὶ* add. P *τοῦ* om. P

δίκου ἢ ἀπὸ τῶν δικαστῶν ἢ ἀφ' ἑαυτοῦ· καὶ τοῦτο ἐν παντὶ λόγῳ παρατηρητέον.

Διαιρεῖται δὲ ὁ κοινὸς τόπος παρ' ἄλλοις ἄλλως· οἳ μὲν γὰρ τὸ πρᾶγμα, ὃ κρίνουσι, πρῶτον τάττουσιν, οἳ δὲ τὰ προβεβιωμένα ἐξετάζουσιν, ἅπερ καὶ πρὸ τοῦ πράγματος καλοῦσιν, ἄλλοι δὲ εὐθὺς ἐπὶ τὰ συγκριτικὰ ἔρχονται. ἐπειδὴ δὲ οἱ καλῶς διαιροῦντες οὐκ ἐδοκίμασαν οὐδεμίαν τούτων τῶν τάξεων· οὔτε γὰρ τὰ πρὸ τοῦ πράγματος ἔφασαν δεῖν πρῶτον τάττειν — ἄτοπον γὰρ πρὸ τοῦ παρόντος βίου τὸν παρελθόντα ἀνασκέπτεσθαι — οὔτε αὐτὸ τὸ πρᾶγμα πρῶτον — οὐ γὰρ νῦν τοῦ διδάσκειν, ἀλλὰ τοῦ παροξύνειν χρεία, οὐ γὰρ διηγεῖσθαι μέλλομεν αὐτὰ ἐν τῷ προτέρῳ λόγῳ δηλονότι μεμαθηκόσιν — ἀλλ' οὐδὲ συγκρίσεις ἐπάξομεν μὴ πρότερον τὸ παρὸν αὐξήσαντες· διὰ τοῦτο οὖν ἔταξαν μετὰ τὰ προοίμια πρώτην ⟨τὴν⟩ τοῦ ἐναντίου σύστασιν, ἣν καὶ ἔπαινόν τινες τοῦ ἠδικημένου καλοῦσι πράγματος. ἔστι δὲ τὸ κεφάλαιον τοῦτο τοιοῦτον· οἷον εἰ κατὰ μοιχοῦ λέγομεν, ἐπαινέσομεν τὴν σωφροσύνην, εἰ κατὰ τυράννου, τὴν δημοκρατίαν καὶ τὰ ἐν αὐτῇ καλά, εἰ κατὰ προδότου, τὴν περὶ τὴν πόλιν εὔνοιαν, καὶ ὅλως οὕτως ἐπὶ πάντων τὰ ἐναντία ζητήσομεν. καὶ μετὰ τὸ ἐργάσασθαι δεόντως ἐπάξομεν τὸ πρᾶγμα, οὐχ ὡς διηγούμενοι, ἀλλ' ὡς δεινοποιοῦντες καὶ ἓν τῶν χαλεπωτάτων ἀποδει-

---

8 — p. 45, 22 Ac brevius 15 cf. Herm. 12, 6; 13, 2; Aphth. 32, 2 16. 17 cf. Theo. 107, 21 28 cf. Theo. 107, 16; Herm. 13, 10

---

2 *ἅπαντι* P 5 *προβεβιωμένα* P; *προβεβαιώμενα* O 7 *δὲ* om. Pa Vh 8 *οὐδὲ* O P 9 *δεῖν προτάττειν* Pa Vh *πρῶτα?* Brinkmann 13 *προτέρω* Vh, (ut vid.) Pa; *πρὸ* O; *πρότερον* Pc 14 *πρότερον* Pc; *πρῶτον* O Pa Vh 16 *τὴν* add. Ac, post *ἐναντίου* P 18. 19 *λέγομεν* Pa Vh Ac; *γέγονεν* O; *λέγοιμεν* Pc, cf. 43, 10 al. 20 *δημοκρατείαν* O 21 *οὕτως* P; *ὄντως* O 22 exsp. *ἐργάσασθαι ⟨ταῦτα⟩* 24 *ἓν τῶν χαλεπωτάτων* P; *ἐν τῷ χαλεπωτάτῳ* O

κινύντες, καὶ εὐθὺς ἐπισυνάψομεν αὐτῷ τὴν καλουμένην περιοχήν, ἐν ᾗ δείξομεν, πόσα τῷ νῦν τούτῳ συναδικεῖται πράγματι, οἷον ὅτι νόμοι καταλύονται, δικαστήρια, βουλευτήρια, πάντα ἁπλῶς τὰ τῆς πόλεως καλά, καὶ ἁπλῶς εἰπεῖν τῇ εἰς ἄτοπον ἀπαγωγῇ χρησόμεθα, ⟨ἐξ⟩ ἑνὸς τούτου τὰ ἔσχατα συμβαίνειν λέγοντες. καὶ οὕτω χώραν ἔχει τὰ συγκριτικά, ἐν οἷς πρὸ τῶν ἄλλων φροντιοῦμεν, ὥστε ὁμοιογενέσι κεχρῆσθαι πράγμασιν. ὁμοιογενῆ δὲ λέγεται τὰ ἐν ταῖς αὐταῖς αἰτίαις γινόμενα· οἷον εἰ κατὰ τυμβωρύχου λέγοιμεν, τὴν σύγκρισιν ἐργασόμεθα πρὸς κλέπτας, πρὸς ἱεροσύλους, πρὸς πάντας τοὺς κέρδους ἕνεκα τὰ τοιαῦτα τολμῶντας. γενήσονται δὲ αἱ συγκρίσεις ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἐλάττονος, ἀπὸ τοῦ ἴσου· τῷ μὲν γὰρ μείζονι ἴσον αὐτὸ ἀποδείξομεν, τοῦ δὲ ἴσου μεῖζον, ἐπὶ μέντοι τοῦ ἀπὸ τοῦ ἐλάττονος ἐπιτιμήσει χρησόμεθα, λέγοντες ἄτοπον εἶναι ἐπὶ μὲν δραχμῇ εὐθύνεσθαί τινα, ἐπὶ δὲ ἱεροσυλίᾳ τοῦτον μένειν ἀτιμώρητον. ⟨ἰστέον δὲ ὡς⟩ οὔτε κατὰ τοὺς τρεῖς τόπους πάντως ἐμπεσοῦνται αἱ συγκρίσεις οὔτε κατὰ ὡρισμένην τάξιν, ἀλλὰ καὶ ποῖα δεῖ πρῶτα ἢ δεύτερα ἢ τρίτα ἐξετάσαι, ἢ ποῖα ⟨ὅλως⟩ ἐμπεσεῖται ἢ ποῖα ἐκλείψει, ὁ διαιρῶν εἴσεται. ἐργασάμενοι δὲ τὰ συγκριτικὰ εὐθὺς καὶ τοῖς καλουμένοις πρὸ τοῦ πράγματος χρησόμεθα. ποιησόμεθα δὲ ⟨καὶ⟩ ἐν τούτοις φροντίδα τοῦ

2 cf. Theo. 107, 31   9 sq. Dox. 389, 10 sq.   12 Theo. 108, 3; Herm. 13, 14; An. Seg. § 174   12 sq. Syrian. II 70, 12 R.; Dox. 387, 1 sq.; Max. 35, 6 sq.   15 cf. Herm. 13, 20 sq.   23 cf. Theo. 108, 17

2 ἐν ἧ Ac; ἐν οἷς O; καὶ P   τῶ O P; τα Ac   3 πράγματι P; τὰ πράγματα O, (τὰ om.) Ac   5 εἰπεῖν τῇ om. P   6 ἐξ add. P   14 τῶ — μείζονι ἴσον O Pac; τὸ — μεῖζον ἴσον Vh   αὐτῶ O   17 δραχμῆι P Ac; δραγμῆς O   18 ἰστέον δὲ ὡς add. P   21 ὅλως add. P   24 καὶ add. P

ὁμοιογενῆ ταῦτα εἶναι. στοχαζόμενοι γὰρ τῶν προγεγενημένων καὶ λέγοντες μετὰ πολλὰ ἕτερα καὶ τὰ νῦν ταῦτα τὸν κρινόμενον διαπεπρᾶχθαι ὀφείλομεν τὸ πιθανὸν προσάγειν τοῖς λόγοις ἐκ τοῦ ὅμοια τοῖς νῦν κρινομένοις ἐπιζητεῖν πράγματα· οἷον τυχὸν ὡς ἐπὶ τυμβωρυχίᾳ κρινομένου τινὸς λέγομεν, ὅτι ὡς εἰκὸς πολλὰς πρότερον κλοπὰς ἐργασάμενος τὸ τελευταῖον ⟨καὶ⟩ ἐπὶ ταύτην ⟨ἦλθε⟩ τὴν ἀφορμὴν τοῦ κέρδους. καὶ ἔστι τοῦτο ⟨τὸ⟩ κεφάλαιον ⟨τὸ⟩ πρὸ τοῦ πράγματος ἐοικὸς τοῖς ὀνομαζομένοις παρακατηγορήμασιν ἐν [ταύταις] ταῖς τελείαις ὑποθέσεσιν, ἃ ἐκεῖ παραλαμβάνομεν οὐχ ὡς πρωτοτύπως κρίνοντες, ἀλλὰ ὡς διὰ τούτων τὰ ἐν τῷ νῦν κρινόμενα πιστούμενοι· οἷον ὁ Δημοσθένης, βουλόμενος δεῖξαι τὸν Μειδίαν ἐκ προαιρέσεως ὑβρικότα κατὰ τὸν καιρὸν τῆς χορηγίας, ἐμνημόνευσε καὶ παλαιῶν αὐτοῦ ἀδικημάτων καὶ πρὸς ἄλλους ὕβρεων, ἵνα ἐξ ἐκείνων καὶ τοῖς νῦν τινα ἰσχὺν παράσχῃ. οὕτως οὖν ἐν τῷ κοινῷ τόπῳ τὸν κρινόμενον διαβαλόντες ἔκ τε τῶν νῦν καὶ τῶν πάλαι πεπραγμένων ἥξομεν ἐπὶ τὰ τελικὰ καλούμενα κεφάλαια, ἃ διὰ τί μὲν εἴρηται οὕτως, κατὰ καιρὸν μαθησόμεθα· ἔστι δὲ ταῦτα τὸ συμφέρον, τὸ δίκαιον, τὸ νόμιμον, τὸ δυνατόν, τὸ ἔνδοξον, τὸ ἀναγκαῖον, τὸ ῥᾴδιον, ὧν τοῖς ἐμπίπτουσι χρησόμεθα· οὐ γὰρ πᾶσα ἀνάγκη

---

1 cf. Herm. 12, 8; Aphth. 33, 2; Sard. 5 sq. cf. Dox. 394, 27 sq. 20 sq. cf. Dox. 399, 16

---

1 γὰρ P; δὲ O τῶν προγεγενημένων P; τὰ προγεγενημένα O Sard. 6 ὡς εἰκὸς P Sard.; εἰκὸς ὡς O 7 καὶ add. P Ac 8 ἦλθε add. P Sard. 9 τοῦτο τὸ κεφάλαιον τὸ τοῦ πράγματος Ac; τοῦτο κεφάλαιον πρὸ τοῦ πράγματος λεγόμενον P 10 ταύταις om. P Ac 13 βουλόμενος post 14 Μειδίαν P 15 χορίας O αὐτοῦ P; αὐτῷ O Dem. 21, 129 sq. 17 ἰσχύν τινα P 18 διαβάλλοντες O P 19 πεπραγμένων P; πραγμάτων O καλούμενα P; κινούμενα O

διὰ πάντων ἰέναι, πλεονάσει δὲ ὅμως τὸ συμφέρον. καὶ οὕτω μετὰ τὴν τῶν κεφαλαίων ἐργασίαν τὴν μόνην αὐτῷ λοιπὴν ἀφορμὴν πρὸς σωτηρίαν ἀναιρήσομεν. ἔστι δὲ αὕτη ἡ τοῦ ἐλέου ἐκβολὴ ὀνομαζομένη, ᾗπερ εἰώθασιν οἱ κατηγορούμενοι χρῆσθαι μετὰ ⟨τὸ⟩ μηδεμίαν ἐλπίδα ἔχειν τοῦ φυγεῖν δύνασθαι. καὶ θέντες αὐτὴν καὶ πλατύναντες, ὡς ἐνδέχεται, λύσομεν [δὲ] πάλιν δι' αὐτῶν ⟨τε⟩ τῶν τελικῶν κεφαλαίων, οἷς ἂν δυνώμεθα χρώμενοι, καὶ διὰ τῆς καλουμένης ὑποτυπώσεως. ἔστι δὲ ἡ ὑποτύπωσις κεφάλαιον ὑπ' ὄψιν ἄγον τὰ γεγενημένα καὶ δι' ἐκφράσεως θεατὰς τῶν ἀτόπων ἐργαζόμενον ἡμᾶς. σκοπεῖν δὲ ἐπὶ τούτου δεῖ τοῦ κεφαλαίου, ὅπως μὴ λάθωμεν ἐκφράζοντες αἰσχρὰ πράγματα, ὃ συμβαίνει, ὅταν κατὰ μοιχοῦ τινος ἢ παιδοφθόρου ποιώμεθα τοὺς λόγους· ἐπὶ γὰρ τῶν τοιούτων φεύγειν δεῖ τὴν διατύπωσιν· ἐκφράζοντες γὰρ πλέον ἡμᾶς αὐτοὺς ἢ ἐκεῖνον διαβαλοῦμεν. ἀλλ' εἰ δεῖ χρῆσθαι ἐπὶ τοιούτων πραγμάτων ὑποτυπώσει, παραστήσομεν αὐτοῦ διὰ ταύτης ⟨τὴν⟩ προπέτειαν, θρασύν τινα ἄνθρωπον καὶ καταφρονοῦντα τῶν νόμων ἐκφράζοντες καὶ διὰ τοῦτο λέγοντες αὐτὸν μηδὲ αὐτὰς ὀκνῆσαι τὰς οὕτως ἀτόπους τῶν πράξεων. καὶ ταῦτα μὲν τὰ κεφάλαια, οἷς ὁ κοινὸς τόπος διαιρεῖται.

Τῶν δὲ προγυμνασμάτων τῶν μὲν ὄντων μερῶν, τῶν

---

4 sq. cf. Herm. 14, 5; Aphth. 33, 3 9 sq. cf. Theo. 109, 1; An. Seg. § 233

---

2. 3 μόνην λοιπὴν αὐτῶι πρὸς σωτηρίαν ἀφορμὴν P 5 χρῆσθαι P; χρήσασθαι O τὸ add. P 6 πλατύναντες P Ac; πλατύνοντες O 7 δὲ om. P Ac πάλιν post 8 κεφαλαίων P 7 τε add. P 9 ἡ om. P 10 ὑπ' Ac; εἰς O P ἄγον P; ἄγουσα O τὰ γεγενημένα O Ac; τὸ γεγενημένον P 14. 15 γὰρ τούτων δεῖ φυγεῖν P 15 διατύπωσιν: cf. Theo. 18 τὴν add. P 19 καταφρονοῦντα P; καταφρονοῦν O 20 αὐτὸν P; αὐτῷ O

δὲ μερῶν καὶ ὅλων ὁ κοινὸς τόπος ἐστὶ ποτὲ μὲν τῶν ὡς μερῶν παραλαμβανομένων, ποτὲ δὲ καὶ τῶν ὡς ὅλων. ἔστι γὰρ ὅπου καὶ ὅλην ὑπόθεσιν ἀρκέσει πληρῶσαι, ὡς εὑρίσκομεν ἐν ταῖς δευτερολογίαις, ἐν αἷς ἀκριβῶς τῶν προτέρων κατηγορησάντων καὶ ταῖς ἀποδείξεσι χρησαμένων οἱ δεύτεροι κοινοῖς τόποις κέχρηνται, καταδρομὴν τῶν ἡμαρτηκότων ποιούμενοι καὶ παρακαλοῦντες ἐπὶ τὴν ψῆφον τοὺς δικάζοντας. καὶ τούτου τεκμήριον ὁ λόγος ὁ Κατὰ Ἀριστογείτονος, ἄντικρυς ὢν ἐπίλογος· οὐδαμοῦ γὰρ ἰσχυραὶ ἀντιθέσεις οὐδὲ ἀγῶνος μεσταὶ ἀποδείξεις, ἀλλὰ καταδρομὴ πανταχοῦ.

Ἴδιον δὲ ἐπιλόγων τὸ δεινώσεις παραλαμβάνειν καὶ σχετλιασμοὺς καὶ παθητικὴν ὅλως ἐργάζεσθαι τὴν φράσιν καὶ αὐτῇ δὲ τῇ ὑποκρίσει κεχρῆσθαι περιπαθεστέρᾳ, ἅπερ δεῖ πάντα ἐν τῷ κοινῷ τόπῳ φυλάττειν· ἔστι γάρ, ὅπερ ἔφην, ἐπίλογος, εἰ καὶ μὴ πάντα ἔχει, ὅσα ὁ ἐπίλογος, ἀλλὰ κατά τινα διαφέρει. ⟨τίνα δέ ἐστι τὰ τοῦ ἐπιλόγου ἴδια καὶ κατὰ τί τοῦ κοινοῦ τόπου διαφέρει,⟩ ἐν ἑτέρῳ καιρῷ μαθησόμεθα.

Ὅτι δὲ τριῶν ὡς ἐν κεφαλαίῳ τῆς ῥητορικῆς ὄντων μερῶν τὴν περὶ τὸ δικανικὸν ὁ κοινὸς τόπος ἐπαγγέλλεται μελέτην, δῆλον ἅπασι τοῖς ⟨μὴ⟩ προσδεχομένοις ἐν κοινῷ τόπῳ τοὺς ὑπὲρ ἀριστέων ἢ τυραννοκτόνων ἢ

---

1 sq. cf. Ac 12 sq. An. Seg. § 243; P VII 347, 10 W. = IV 428, 14 W.; cf. Ac

---

45,23. 46,1 ὄντων μερῶν [β]καὶ ὅλων, τῶν δὲ[α] μερῶν O καὶ etiam post δὲ Vh, (supr.) Pa 2 καὶ om. P 11 μεσταὶ P; μεστὰς O 13 ἐργάζεσθαι P Ac; ἐργάσασθαι O 15 πάν[τ] O; πάντα Pc; πάντων Pa Vh; πάντως Walz γὰρ O Pa Vh; δὲ Pc 16. 17 οἱ ἐπίλογοι P 17. 18 add. P (ἐστιν post ἐπιλόγου Pc) 19 καιρῷ P; κοινῷ O 20 fort. ὡς ἐν κεφαλαίῳ εἰπεῖν, cf. 41, 22 20. 21 μερῶν ὄντων τῆς ῥητορικῆς P 22 μὴ add. P

τῶν ὅλως ἀγαθόν τι πεποιηκότων λόγους· ἐπεὶ κατά γε ἐκείνους γένοιτο ἄν τις ⟨ἐν⟩ τῷ κοινῷ τόπῳ καὶ περὶ τὸ πανηγυρικὸν γυμνασία.

⟨Περὶ ἐγκωμίου καὶ ψόγου.⟩

Ἔστι μὲν οὐκέτι ἁπλοῦς ὁ περὶ τοῦ ἐγκωμίου λόγος, ἀλλὰ πολυσχιδής τε καὶ εἰς πολλὰ διαιρούμενος· καὶ γὰρ οἱ ἐπιβατήριοι καὶ οἱ προσφωνητικοὶ καὶ ⟨οἱ⟩ ἐπιθαλάμιοι καὶ οἱ ἐπιτάφιοι καὶ μέντοι γε καὶ οἱ εἰς θεοὺς ὕμνοι καὶ πάντες ἁπλῶς οἱ εὐφημίαν ἔχοντες λόγοι ὑπὸ τοῦτο τὸ εἶδος τάττονται. δεῖ δὲ τοσαῦτα περὶ αὐτοῦ εἰπεῖν νῦν, ὅσα πρὸς ἀρχομένους ἁρμόζει.

Καὶ πρῶτόν γε ἐκεῖνο ἐζήτηται, διὰ τί τριῶν ὄντων, ὡς ⟨ἐν⟩ γένει εἰπεῖν, τῶν τῆς ῥητορικῆς μερῶν ἢ εἰδῶν ἢ ὅπως τις ἐθέλοι καλεῖν, τοῦ τε συμβουλευτικοῦ ⟨καὶ⟩ δικανικοῦ καὶ πανηγυρικοῦ, τὸ τρίτον μέρος, λέγω δὴ τοῦτο τὸ πανηγυρικόν, οὗπέρ ἐστι τὸ ἐγκώμιον, ἐν τοῖς προγυμνάσμασι τέτακται. εἰ γὰρ ἕκαστον τῶν ἄλλων προγυμνασμάτων εὕρηται διὰ τὸ εἰς ἕν τι τῶν τελείων ὑποθέσεων ἡμᾶς γυμνάζειν, ὅτου χάριν τοῦτο τέλειον ὂν ἐν τοῖς μέρεσι παρείληπται; φαμὲν οὖν πρὸς τοῦτο, ὅ τι ἤδη πρότερον εἰρήκαμεν, ὅτι τῶν προγυμνασμάτων

5 — p. 53, 19 = P 618, 10—622, 25

5 sq. cf. Ac 6 sq. cf. Theo. 109, 22; schol. Aristid. III 437 Dind.; Sop. V 14, 9 W.; Dox. 415, 14 sq. 13 cf. Menandr. III 331, 2 Sp.

2 *ἐν* add. P *τῷ* om. P 3 *γυμνασία* P; *γυμνάσιον* O 5 *ἁπλοῦς οὐκἔτι* Pc; *ἁπλῶς οὐκέτι* Pa Vh 6 *πολυσχιδής* Pc Vh; *πολυσχεδής* O, (ϊ m. 1 supr.) Pa 7 *οἱ* add. P 8 *τοὺς θεοὺς* P; cf. 49,11 11 *νῦν εἰπεῖν* P 13 *ἐν* add. P 14 *καλεῖν τοῦ*, *συμβουλευτικοῦ* O *καὶ* add. P 16 *τὸ τοῦ πανηγυρικοῦ* P 17 *τέτακται* P; *τέταχθαι* O 19 *ἡμᾶς ὑποθέσεων* P *ὅτου χάριν*: cf. Usener *Der heilige Tychon* p. 50,2 21 *ὅ τι* om. P; fort. *ὅπερ*, cf. 31, 20. 49, 22. 53, 3 al.

τὰ μέν ἐστι μέρη, τὰ δὲ μέρη καὶ ὅλα· μέρη μέν, ὅσα μόνον πρὸς χρείαν ἑτέρου παραλαμβάνεται· μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν καθ' ἑαυτὰ ὑπόθεσίν τινα ἐξεργάζεται, ποτὲ δὲ εἰς ἑτέρων ὑποθέσεων μέρη συντελεῖ. τὸ τοίνυν ἐγκώμιον τῶν [καὶ] μερῶν ἐστι καὶ ὅλων· ὡς ὅλον μὲν αὐτὸ ἐργαζόμεθα, ὅταν αὐτὸ τοῦτο προθώμεθά τινα εὐφημῆσαι, ὡς μέρος δέ, ὅταν ἢ [ὡς] συμβουλεύοντες ἐπαινέσωμεν τυχὸν τὸ πρᾶγμα τόδε, ἐφ' ὃ καὶ προτρέπομεν, ἢ κατηγοροῦντες συστήσωμέν ⟨τε⟩ τὴν οἰκείαν ποιότητα καὶ διαβάλωμεν τὴν τοῦ ἐναντίου· ὧν τοῦ μὲν προτέρου παράδειγμα ὁ Πανηγυρικὸς Ἰσοκράτους λόγος, συμβουλευτικὸν μὲν ἔχων τὸ εἶδος, διὰ δὲ ἐγκωμιαστικῆς ὕλης κατασκευαζόμενος, τοῦ δὲ δευτέρου ὁ Περὶ τοῦ στεφάνου Δημοσθένους, καὶ αὐτὸς δικανικοῦ μὲν εἴδους ὤν, δι' ἐπαίνου δὲ τοῦ εἰς ἑαυτὸν καὶ διαβολῆς τῆς εἰς τὸν Αἰσχίνην ἅπας ὑπὸ τοῦ ῥήτορος εἰργασμένος· ἐπεὶ οὖν ποτὲ ⟨μὲν⟩ ὡς μέρος, ποτὲ δὲ ὡς ὅλον παραλαμβάνεται, διὰ τοῦτο καὶ ἐν τοῖς προγυμνάσμασι τέτακται.

Ἐγκώμιον δέ ἐστιν εὐφημία ὡρισμένου προσώπου ἢ πράγματος ⟨ἐπὶ⟩ ὁμολογουμένοις ἀγαθοῖς διεξοδικῶς

5—16 cf. Ac; Dox. 411 sq. **10** sq. cf. Syrian. II 44, 21 R.; schol. Aristid. III 436 Dind.; Sop. V 10, 7 W.; *Rhein. Mus.* 64, 568 l. 20 **19** cf. Herm. 15, 8; Menandr. III 368, 7 Sp.; Ac

---

1 *δὲ ὅλα καὶ μέρη* O **2** *ὡς πρὸς* P **2. 3** *ὅλα δὲ καὶ μέρη* O **3** *μὲν καὶ καθ'* P *ἐξεργάζεται* P; *ἐξετάζεται* O **4** *εἰς* P; *ὡς* O **5** pr. *καὶ* om. P **6** *αὐτὸ τοῦτο προθώμεθα* P Ac; *αὐτῷ τούτῳ προθυμώμεθα* O **7** alt. *ὡς* om. P **8** *ἐπαινέσωμεν* O Pc Ac; *ἐπαινέσομεν* Pa Vh **9** *ἢ καὶ κατηγοροῦντες* P Ac *συστήσωμέν* Pc Ac; *συστήσομέν* O Pa Vh *τε* add. P **10** *διαβαλοῦμεν* O P **13. 14** *τοῦ στεφάνου δημοσθένους* P; *τοῦ δημοσθένους στεφάνου* O; *στεφάνου τοῦ δημοσθένους* Ac **14** *δικανικοῦ μὲν εἴδους* P Ac; *δικανικὸν μὲν εἶδος* O **16** *αἴσχυλον* O **17** *μὲν* add. P **18** *γυμνάσμασι* P **20** *ἐπὶ ὁμολογουμένοις* P Ac; *ὁμολογουμένου* O

γινομένη. διεξοδικοὺς δὲ λόγους λέγομεν τοὺς εἰς μῆκος ἀποτεταμένους καὶ διὰ πάντων τῶν πλεονεκτημάτων ἐργασθέντας, καθ' οὓς καὶ ⟨τὸ⟩ ἐγκώμιον διαφέρει [δὲ] τῶν ἐπαίνων· ἔπαινος μὲν γάρ ἐστι τὸ δι' ὀλίγων κατασκευαζόμενον, οἷον ἡ ἑνὸς ἀγαθοῦ μνήμη, ἐγκώμιον δὲ τὸ διὰ πασῶν τῶν ἀρετῶν καὶ διὰ πάντων τῶν τοῦ ἐπαινουμένου πλεονεκτημάτων ἐργασθέν.

Τέλος δὲ ἐγκωμίου τὸ καλόν, ὥσπερ τοῦ δικανικοῦ τὸ δίκαιον καὶ ⟨τοῦ⟩ συμβουλευτικοῦ τὸ συμφέρον.

Εἴρηται δὲ ἐγκώμιον ἀπὸ τοῦ ἐν κώμῳ τινὶ ⟨καὶ παιδιᾷ⟩ πάλαι τοὺς ἀνθρώπους τούς τε εἰς θεοὺς ὕμνους καὶ τοὺς εἰς ἀλλήλους ἐπαίνους ἐργάζεσθαι.

Διῄρηται δὲ ἕκαστον μὲν τῶν ὑπ' αὐτὸ εἰδῶν, οἷον λέγω ἐπιθαλάμιος ἢ προσφωνητικὸς ἢ σμινθιακὸς ἢ ἄλλος ὅλως ἐπὶ ἑορταῖς λεγόμενος λόγος ἢ ὕμνος θεῶν — διῄρηται δὲ ἕκαστον τῶν εἰδῶν ἰδίᾳ τινὶ διαιρέσει, ἥτις οὐκ ἔστι τῆς κατ' εἰσαγωγὴν ἐξετάσεως. δεῖ δέ, ὡς εἰπεῖν ἐν βραχέσιν, ἐφ' ἑκάστης ἐκείνων τῶν ὑποθέσεων τὸ ἰδιάζον πλεονάζειν κεφάλαιον, οἷον ⟨ἐν⟩ ἐπιθαλαμίοις τὸ ἐπὶ τῷ γάμῳ, ὃ καὶ θετικὸν καλεῖται, ἐν παναθηναϊκῷ ἢ καὶ ἄλλῳ τινὶ τῶν τοιούτων τὸ περὶ τῆς ἑορτῆς, καὶ ὅλως ἐν ἑκάστῳ αὐτῶν, ὅπερ ἔφην, τὸ παρέχον τῇ ὑποθέσει τὴν πρόφασιν. τὸ δὲ νῦν ὑφ' ἡμῶν αὐτὸ

---

8 cf. Herm. 15, 6; Aphth. 35, 29 10 sq. cf. Theo. 109, 27; Herm. 15, 3; Aphth. 35, 26; Ac; Dox. 414, 4 sq. 17 Ac

---

1 *δὲ* P; *μὲν* O 8. 4 *καθ' οὓς καὶ διαφέρει τῶν ἐπαίνων τὸ ἐγκώμιον* P 9 *τοῦ* add. P 10 *κώμω* O Ac, ?Pa; *κώμη* Pc Vh; cf. Theo. 109, 27 10. 11 *καὶ παιδιᾷ* add. P Ac 12 *ἀλλήλους* P Ac; *ἄλληλα* O 18 *αὐτὸ* P; *αὐτοῦ* O 14 *λέγω* P; *λ(γ')ό* O, cf. 12, 9 ann. *ἄλλος* P; *ἄλλοις* O 16 *δὲ* O; *οὖν* P, cf. 24, 7. 50, 13 17 *τῆς κατ' ἀγωγὴν*, mg. *γρ' τῆς κατεισαγωγὴν*, O 19 *ἐν* Pc Ac; om. O Pa Vh 20 *τὸ* Pc; *τῷ* O Pa Vh 28 *ὑφ'* P; *ἐφ'* O

δὴ τοῦτο ἐγκώμιον ὀνομαζόμενον, ὃ ἐκπονοῦμεν εἰς ἔπαινον τυχὸν ἀνδρὸς βεβιωκότος πρὸς ἀρετήν, ὡς μὲν ἕτεροί ⟨τε⟩ τῶν ἀρχαίων καὶ ὁ θειότατος Πλάτων ἐν Φαίδρῳ διεῖλεν, εἰς τὰ περὶ ψυχήν, εἰς τὰ περὶ σῶμα, εἰς τὰ ἐκτὸς διαιρεῖται, ὧν τὰ μὲν περὶ ψυχὴν εἰς φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρείαν μεριζόμενά ⟨ἐστι⟩, τὰ δὲ περὶ σῶμα εἰς κάλλος, ἰσχύν, μέγεθος καὶ τάχος, τὰ δὲ ἐκτὸς διαιρεῖται εἰς γένος, φίλους, πλοῦτον καὶ ὅσα τοιαῦτα· ἡμεῖς δὲ οὐ ταύτῃ τῇ διαιρέσει, ἀλλὰ τῇ κρατούσῃ ἑψόμεθα. διαιρεῖται τοίνυν μετὰ τὰ προοίμια — χρησόμεθα γὰρ καὶ ἐν τούτῳ προοιμίοις οὐχ ὡρισμένοις, ἀλλ' ὅσοις ἡ χρεία παρέχει, κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν ἤδη πολλάκις εἴρηται — διαιρεῖται δὲ μετὰ τὰ προοίμια πρώτῳ κεφαλαίῳ τῷ καλουμένῳ ἀπὸ τοῦ γένους, ὅπερ λαμβάνεται ἀπὸ ἔθνους, ἀπὸ πόλεως, ἀπὸ προγόνων. ταῦτα δὲ ἢ πάντα ἐμπίπτει, ἢ τοῖς ἐμπίπτουσι χρησόμεθα· οἷον ἐὰν ἡ πόλις ᾖ λαμπρὰ καὶ ἔνδοξος, τότε μᾶλλον ἐν τῷ περὶ αὐτῆς λόγῳ ἢ τοῦ ἔθνους διατρίψομεν· ἐὰν δὲ μηδὲν ἔχωμεν εἰπεῖν γενναῖον περὶ τῆς πόλεως, τότε ἐπὶ τὸ ἔθνος καταφευξόμεθα· εἰ δ' ἄρα μηδὲ περὶ ἑτέρου λέγειν τι δυνάμεθα σπουδαῖον, τότε εὐθὺς ἀπὸ τῶν προγόνων ἀρξόμεθα, ὅσα δὲ ἐνδέχεται καὶ περὶ ἐκείνων, λέγω δὴ τῶν ἀπὸ ἔθνους ⟨ἢ πόλεως⟩,

---

2 sq. cf. Theo. 109, 29 sq.; Herm. 16, 4 sq.; Aphth. 36, 12 sq. 10 — p. 53, 19 Ac brevius 14 sq. cf. Herm. 15, 18; Aphth. 36, 9

---

2. 3 *ὡς μὲν ἕτεροί τε* P; *ὥσπερ ἕτεροι* O 3 *καὶ ὡς ὁ* P Plat. Phaedr. 270 B 4 *ψυχῆς* O P *σώματος* P 5 *ψυχὴν* P; *ψυχῆς* O 6 *ἀνδρείαν* P; *ἀνδρίαν* O, cf. 53, 1 *ἐστι* add. P 7 *καὶ ἰσχὺν καὶ μέγεθος* P 8 *διαιρεῖται* om. P 9 *ταύτῃ νῦν* P 11 *τούτοις* O P 13 *εἰρήκαμεν* P *δὲ* O; *οὖν* P 15 *ὅπερ λαμβάνεται* P; *ὃ προσλαμβάνεται* O; *ὃ λαμβανεται* Ac 18 *λόγω* |*χρη* del.] O *ἢ τῶ* (*τὸ* Pc) *τοῦ* P 18. 19 *ἐνδιατρίψομεν* Ac 19 *γενναῖον εἰπεῖν* P 20 *καταφευξούμεθα* Pac 21 *μηδὲ* om. P 20. 21 *ἄρα περὶ μηδετέρου* Finckh 23 *ἢ πόλεως* add. P Ac

εἰπόντες πρότερον. οἷον βουλόμεθα Σίφνιόν τινα ἐπαινεῖν· ἐπειδὴ μηδὲν ἔστιν ἄξιον λόγου εἰπεῖν περὶ Σίφνου, ἀρκέσει αὐτῆς πρὸς ἔπαινον τυχὸν ⟨εἰπεῖν⟩ τὸ πλησίον αὐτὴν κεῖσθαι τῆς Ἀττικῆς καὶ μέσην τῶν Κυκλάδων νήσων. καὶ ἐκ τούτων, φυλάξαντες τῇ τέχνῃ τὴν τάξιν, ἥξομεν ἐπὶ τὰ οἰκειότερα, καὶ αὖ πάλιν τοὺς ἐνδοξοτέρους ἐπαινοῦντες τοὺς ἄλλους ἀποκρύψομεν. ἀεὶ δὲ δεῖ σπεύδειν καὶ ἐπείγεσθαι ἐπὶ τὰ ἴδια καὶ μόνῳ αὐτῷ ὑπάρχοντα, οἷον λέγω ἐκ τῶν ἀνωτάτω προγόνων εἰκὸς πολλοὺς κατάγεσθαι καὶ πολλὰς οἷον σειρὰς εἶναι καὶ πλείοσιν ἁρμόζειν τὰς αὐτὰς εὐφημίας, ἐπὶ δὲ πατρὸς πλεονεκτήμασι μόνους τοὺς ἐξ αὐτοῦ γενομένους δεῖ σεμνύνεσθαι· διὸ ἐπὶ ταῦτα μᾶλλον ἥξομεν. οὐ μὴν ἀμέσως οὐδὲ ὡς ἔτυχε τὴν ἐκείνων μνήμην παραδραμούμεθα, ἵνα μὴ δόξωμεν κακίαν τινὰ συνειδότες ἀποφεύγειν τοὺς περὶ αὐτῶν λόγους, ἀλλ' εἴτε βουλόμεθα αὐτὰ ἐξετάζειν, μετὰ ἀξιώματος ἐπ' αὐτὰ χωρήσομεν, λέγοντες, ὅτι ἄτοπόν ἐστιν ἐν τοιᾷδε μνήμῃ μὴ καὶ τὰς ἐκ τῶν προγόνων αὐτοῦ σκοπεῖν ἀρετάς, εἴτε ὑπερβαίνειν ἐθέλομεν, πειρασόμεθα αἰτίαν εἰπεῖν εὔλογον, ἵνα μὴ δοκοίημεν αὐτὰς ἀποκρύπτειν ἐθελοντί. μετὰ δὲ ταῦτα τὰ ἀπὸ τοῦ γένους εἰς τὰ ἀπὸ τῆς γενέσεως ἥξομεν, οἷον ⟨εἴ τι κατὰ τὸν καιρὸν τῆς ὠδῖνος ἕξομεν λέγειν συμβεβηκὸς περὶ αὐτόν· οἷον⟩ δὴ ἐπὶ τῆς Περικλέους λέγεται μητρὸς τῆς

---

1 cf. Herm. 33, 10 R. (Demosth. 13, 34); Dox. 327, 28; Max. 43, 13   24 sq. cf. Menandr. III 400, 23 Sp.

---

2 *λόγου* om. P   *εἰπεῖν* post *Σίφνου* Pa Vh   3 *αὐτῇ* O *τυχὸν* O; *εἰπεῖν* P   4 *αὐτὴν* P; *αὐτῆς* O   5 *τοιούτων* P   6 *ἥξομεν* P Ac; *ἥξει μὲν* O   9 *εἰκὸς* m. 1 supr. O   14 *μνήμην* P Ac; *γνώμην* O   21 *ὑποκρύπτειν* P   *ἐθελοντί* P; *ἐθέλοντες* O   22 *πρὸ* pro *ἀπὸ* Ac   *ἥξημεν* O   *εἴ* — 24 *οἷον* add. P; *εἴ τι κατὰ τὰς ὠδῖνας ἢ τὴν κυοφορίαν συμβέβηκε παράδοξον λέγοντες* Ac   24 *λέγεται* P; *λέγομεν* O

Ἀγαρίστης, ἣ δι' ἐνυπνίου προεῖπεν ὁ θεός, ὅτι λέοντα τέξεται, ἢ ἐπὶ τῆς Κύρου μητρὸς τὸ ἐπὶ τῇ ἀμπέλῳ τε καὶ τῇ ἐπικλύσει τῇ ἐκ τοῦ ὀνείρου θρυλούμενον· πολλὰ δ' ἡμῖν καὶ ἄλλα τοιαῦτα παραδέδοται, οἷον ἐπὶ Εὐαγόρου τοῦ Κυπρίων βασιλέως καὶ ἐπὶ ἑτέρων. εἶτα μετὰ ⟨τὸ⟩ ταῦτα εἰπεῖν παραληψόμεθα τὰ ἐκ τῆς ἀνατροφῆς, ἂν ἔχωμέν τι περὶ αὐτῆς εἰπεῖν ἐξαίρετον καὶ οἷον μὴ ἑτέροις γέγονεν, ὡς ἐπὶ τοῦ Ἀχιλλέως, ὅτι μυελοῖς ἐτράφη ἐλάφων καὶ ὅτι ὑπὸ τοῦ Χείρωνος καὶ τὰ κατὰ μέρος ⟨ἐπ'⟩ αὐτῷ λεγόμενα. μετὰ ταῦτα, ἅπερ ἐν τῇ νέᾳ ἡλικίᾳ ἐπετήδευσεν, οἷον εἰ ῥητορικὴν ἤσκησεν ἢ ποιητικὴν ἢ ἄλλο τι τοιοῦτον. εἶτα ἐπὶ τούτοις τὰ ὑπ' αὐτοῦ πεπραγμένα. κἀνταῦθα, μᾶλλον δὲ ἐν πᾶσι τοῖς μέρεσιν, ἵνα μὴ ὕπτιος ὁ λόγος γίγνηται, εἰ καὶ ἁρμόζειν πως τοῖς πανηγυρικοῖς ἡ ὑπτιότης δοκεῖ, ὅμως, ἵνα μὴ πάντῃ ἐκλύηται μόνην μνήμην ποιουμένων ἡμῶν ψιλὴν καὶ ἀνεξέργαστον, πειρασόμεθα εἰς ἀρετὰς ἀναφέρειν τὰς πράξεις καὶ ἐπάγειν κατὰ μέρος τὰς συγκρίσεις· οὕτω γὰρ ἥ τε ὑπτιότης διαλύεται καὶ ἐναγώνιος ὁ λόγος κατασκευάζεται. καὶ εἴ πού τι ἐλάττωμα ἔχοι, καὶ τοῦτο πειρασόμεθα περιστέλλειν εὐφημοτέροις λόγοις, τὴν δειλίαν εὐλάβειαν

2 sq. cf. Menandr. III 371, 9 Sp. 6 cf. Herm. 16, 1; Aphth. 36, 11 8 sq. cf. Herm. 16, 1; Menandr. III 371, 24 Sp. 10 cf. Herm. 16, 8 17 sq. cf. Theo. 110, 7 sq.; Menandr. III 373, 5 Sp. 18 cf. Herm. 17, 2; Aphth. 36, 17; Menandr. III 372, 21 Sp. 20 cf. Theo. 111, 21; Max. 43, 19 sq.

1 *ἀγαρίστης* Pc; *ἀγοράστης* O; *ἀγαρόστης* Pa, ? Vh; cf. Herod. 6, 126—131 2 *κόρον* O 3 *ἐπικλύσει* P; *ἐπικλήσει* O *τῇ ἐκ* om. P *θρυλλούμενον* O Pc Vh 4 *οἷα* P cf. Isocr. 9, 21 6 *τὸ* add. P *τὰ* Ac; *τὸ* OP 7 *αὐτῆς ἐξ. λέγειν καὶ* P 8 *ὥσπερ ἐπὶ* (om. *τοῦ*) P 8. 9 *ἐλάφων ἐτράφη* P *τοῦ* om. P *ἐπ'* add. P 11 *οἷον* om. P 11. 12 *εἰ ἄλλο τί τοιο*[*ύτων* ex *ῦτον*] O; *ἢ τί τῶν τοιούτων* P 12 *ἐπὶ τούτοις* Ac; *ἐπ' αὐτὸν* O; *ἐπ' αὐτὰ* P 16 *ψιλὴν* om. P 18 *ἥ τε* P; *ὅτε* O 20 *πειρασόμεθα* P; *πεισόμεθα* O 21 *περιστέλλειν* P Ac; *διαστέλλειν* O

καὶ προμήθειαν καλοῦντες, τὸ δὲ θράσος ἀνδρείαν καὶ εὐψυχίαν, καὶ ὅλως ἀεὶ πάντα ἐπὶ τὸ κάλλιον ἐργαζόμενοι. ὅπερ δὲ εἶπον, πανταχοῦ δεῖ τὰς συγκρίσεις ἐπάγειν, τὴν ὑπὲρ ⟨τὸ⟩ μέτρον ὑπτιότητα διαφεύγοντας, καὶ ἐπὶ τὰς τῶν ἀρετῶν ἐξετάσεις ἰέναι, ἵνα ἔμψυχος ὁ λόγος γένηται.— Ζητητέον δέ, εἰ ἀντίθεσιν ἐπιδέχεται τὸ ἐγκώμιον. εἰ γὰρ δεῖ ὁμολογουμένων ἀγαθῶν βάσανον γίνεσθαι, οὐκέτι ὁμολογηθήσεται τὰ ἔχοντα ἀντίθεσιν· εἰ δὲ ἐξ ἰδιαζούσης ὕλης ἐμπέσοι, ὃ ἀποκρύψαι οὐ δυνάμεθα διὰ τὸ τὸν ἀκροατὴν αὐτὸ ζητεῖν, τῇ τε μεθόδῳ αὐτὰ καθαιρήσομεν καὶ τὰς λύσεις ἐπάξομεν ἰσχυροτέρας, ἵνα πανταχόθεν τὸ τῆς ἀντιθέσεως βλάβος λύηται. παραδείγματα δὲ τούτου παρά τε τῷ Ἀριστείδῃ καὶ τῷ Ἰσοκράτει ἐν τῷ Πανηγυρικῷ καὶ ἐν τῷ Βουσίριδι, ὧν μάλιστα τὴν ἐν τῷ Πανηγυρικῷ ἀντίθεσιν ζηλωτέον, ἐπειδὴ καὶ καλῶς λέλυται· ἡ γὰρ ἐν τῷ Βουσίριδι εἰσαχθεῖσα ἀσθενέστερον λελύσθαι δοκεῖ. ἐξ ἰδιαζούσης δὲ ὕλης ἐμπεσοῦσαι ἀντιθέσεις κανόνα ⟨τῷ⟩ εἴδει τούτῳ τῆς ῥητορικῆς καθολικὸν οὐ ποιήσουσιν.

Καὶ ὁ ψόγος δὲ τοῖς αὐτοῖς κεφαλαίοις διαιρεῖται ἀπὸ τῶν ἐναντίων ἐπιχειρημάτων καὶ ἐνθυμημάτων συμπλη-

---

20 — p. 58, 18 = P 629, 22—633, 5

---

6 sq. cf. *Rhein. Mus.* 64, 567 l. 27 sq. 556 l. 1 sq. **7** sq. cf. schol. Aristid. III 752 Dind. **20** cf. Theo. 112, 17; Herm. 15, 10; Aphth. 40, 10 **20** Ac

---

1 *προμήθειαν* P Ac; *προμε*[θ´] O **3** p. 52, 18 **4** *τὴν ὑπὲρ τὸ μέτρον* P; *τὸν* ⌊*ὑπὲρ* ex corr.⌉ *μέτριον* O *διαφεύγοντας* P; *διαφέροντας* O; *φεύγοντας* Ac **6** *γένηται* O; *φαίνηται* P Ac; cf. 69, 18 **9** *ἐμπέσοι* P Ac; *ἐμπέσῃ* O **11** *αὐτὴν* Ac *καθαιρήσομεν* P; ⌊*ζητεῖν* del.⌉ *καθαρήσομεν* O *ἐπάξομεν* P, mg. O; *ἐπάγομεν* O **15** *τὴν* om. P **16** fort. [*καὶ*] **18** *τῷ* add. P **20** *διαιρεῖται κεφαλαίοις* P **21** *ἐνθυμημάτων καὶ ἐπιχειρημάτων* Pa Vh

ρούντων ἡμῶν τὴν ἅπασαν ἐργασίαν καὶ διαίρεσιν· τῶν γὰρ ἐγκωμίων τὸ μέν ἐστιν ἔπαινος, τὸ δὲ ψόγος. διὰ τοῦτο καὶ ὁ Κατὰ ⟨τῶν⟩ σοφιστῶν Ἰσοκράτους λόγος, καίτοι ἐκ λοιδοριῶν ἅπας τῶν περὶ τοὺς ἁμαρτάνοντας εἰς τὰς τέχνας κατεσκευασμένος, ἐν τοῖς ἐγκωμίοις τέτακται. οὐ λέληθε δέ με, ὅτι ἐπέσκηψάν τινες τῇ ἐπιγραφῇ ἐκείνου τοῦ λόγου, ὅτι μὴ ψόγον αὐτὸν τῶν σοφιστῶν ἐπέγραψεν, ἀλλὰ [καὶ] Κατὰ τῶν σοφιστῶν ἔθετο αὐτῷ ὄνομα, ὥστε δοκεῖν εἶναι κοινὸν τόπον. ἰστέον δέ, ὅτι οὐχ αἱ ἐπιγραφαὶ ποιοῦσι τὰ εἴδη, ἀλλ' ἡ ὑποκειμένη ὕλη.

Εἴρηται μὲν οὖν ἤδη καὶ ἐν ⟨τῷ⟩ κοινῷ τόπῳ ἡ διαφορὰ τοῦ τε ψόγου καὶ αὐτοῦ τοῦ κοινοῦ τόπου, οὐδὲν δὲ κωλύει καὶ νῦν αὐτῆς ἀναμνησθῆναι· διὰ γὰρ αὐτῆς εἰσόμεθα, ποῖα δεῖ τάττειν ὑπὸ ψόγον καὶ ποῖα ὑπὸ τοὺς κοινοὺς τόπους. ὅταν μὲν οὖν ᾖ πρᾶγμα ⟨τὸ⟩ ἐξεταζόμενον, καθ' οὗ τιμωρία τις ὑπὸ τῶν νόμων διώρισται, τότε τῇ καταδρομῇ κατὰ τὰ κεφάλαια τοῦ κοινοῦ τόπου χρησόμεθα· ὅταν δὲ πρᾶγμα ᾖ μόνην λοιδορίαν τῷ χρωμένῳ φέρον, τότε ὡς ψόγον ἐργαζόμεθα· ὥστε καὶ ὁ Κατὰ τῶν σοφιστῶν κατὰ τοῦτον τὸν λόγον ὑπὸ τὸ πανηγυρικὸν εἶδος ἂν τάττοιτο.

Ἔστι δὲ καὶ ἄλλα πολλὰ εἴδη, ὥσπερ ἤδη καὶ μικρὸν ἔμπροσθεν ἐπεσημηνάμεθα, ἀγόμενα ὑπὸ τὸ πανηγυρικόν, ἰδίας διαιρέσεως δεόμενα, ὥσπερ καὶ ὑπὸ τὸ δικανικὸν καὶ συμβουλευτικόν· μᾶλλον δὲ χρὴ καὶ περὶ αὐτῶν δι'

1sq. cf. Menandr. III 331, 15 Sp. 6—9 Ac 9—10 Ac

3 *τῶν* add. P 5 *κατασκευασμένος* O 6 *ἐπέσκεψάν* O 7 *αὐτὸν* P; *αὐτῶν* O 8 *καὶ* om. P *ἐπέθετο* Pc 11 *τῷ* add. Pa Vh; om. O Pc p. 38,15 sq. 12 *τε* P; *περὶ* O 13 alt. *αὐτῆς* P; *αὐτοῦ* O 14 *δεῖ ὑπὸ ψόγον ἄγειν* P 15 *κοινοὺς* om. P *τὸ* add. P 19 *ἐργασόμεθα* Brinkmann 21 *τάττοιτο* P; *τάττετο* O 22 p. 47,7 sq. 49,13 sq. 23 *ἀναγόμενα* Finckh *ὑπὸ τὸ πανηγυρικὸν* om. P 24 *ἰδίας* P; *ἰδία* O

ὀλίγων εἰπεῖν· οὕτω γὰρ ἂν ταῖς περὶ ἐκείνων τῶν εἰδῶν τέχναις ἐπιμελέστερον ἐντευξόμεθα. τῶν γὰρ τεχνογράφων οἳ μὲν ἀπὸ τῶν ὑποκειμένων προσώπων μόνων ἐχαρακτήρισαν τοὺς λόγους, καὶ ἐν τρισὶν εἴδεσιν ἔστησαν τῆς ῥητορικῆς, λέγοντες, ὡς ⟨οἱ⟩ ὑποκείμενοι ἡμῖν ἀκροαταὶ ἢ ἐκκλησιάζουσιν ἢ δικάζουσιν ἢ πανηγυρίζουσι, καὶ δεῖ πάντως ἑνὸς εἶναι τούτων τῶν εἰδῶν τὸν λόγον τὸν λεγόμενον, οἳ δὲ οὐκ ᾠήθησαν δεῖν τρία μόνον ὀνομάζειν εἴδη, ἀλλ' εἰς πλείονα ἐξέτειναν. καὶ ἐμοὶ δοκεῖν πρὸς τοῦτο ἐκινήθησαν πεισθέντες ὑπὸ Ἀριστοτέλους· ὁ ἀνὴρ γὰρ ἐκεῖνος ⟨αἰδέσιμος ὢν⟩ τέταρτον παρὰ τὰ τρία τὰ προλεχθέντα τὸ ἱστορικὸν ἐκάλεσε, μικτὸν ἀπὸ ⟨τῶν⟩ τριῶν εἶναι εἰπών. εἰ δὲ δοίη τις εἶναι τέταρτον, ὥσπερ οὖν καὶ δεῖ δοῦναι, οὐδὲν κωλύει καὶ ⟨τοῖς⟩ ἄλλοις ἕπεσθαι τοῖς μέχρι καὶ τριάκοντα εἰδῶν οἶμαι προελθοῦσιν· ἴσως δ' ἂν εὑρεθείη καὶ πλείονα· σχεδὸν γὰρ ὅσα ἐν ἀνθρώποις πράγματα, τοσοῦτοι καὶ λόγοι. ἀλλὰ λήσεταί ⟨τις οὕτω⟩ σύγχυσιν ἐργαζόμενος· διὸ ὑπ' ἐκεῖνα τὰ παρὰ τῷ Κουρνούτῳ ὀνομαζόμενα καὶ Πορφυρίῳ ἅπαντα χρὴ πειρᾶσθαι ἀνάγειν τὰ πράγματα, εἰδοποιοῦντας αὐτῶν τὰς ὑποθέσεις. δύναιτο δ' ἄν τις καὶ ἐκείνων τὴν μὲν

10 sq. cf. P VII 794, 7 sq. W.; Syrian. II 11, 16 R. 19 sq. cf. W IV 35, 22 sq.

1 ἂν: fort. δὴ 1. 2 ταῖς ... τέχναις P; τῆς ... τέχνης O 2 ἐντευξόμεθα P; ἐντευξώμεθα O 3 μόνων Pc Vh; μόνον O, (ων supr.) Pa 5 οἱ add. P 5 sq. cf. p. 3,18. Praef. cap. D 7 τῶν εἰδῶν εἶναι τούτων (τούτων εἶναι Pc) P 9 δοκεῖν Walz; δοκεῖ P; δο^κ~ O 10 ὑπὸ τοῦ P 10 sq. cf. Praef. cap. E 11 αἰδέσιμος ὢν add. P παρὰ P; πρὸς O 12 τῶν add. P 14 τοῖς add. P 15 καὶ om. P προελθεῖν, mg. γρ´ προελθοῦσιν, O 17 λήσεταί τις οὕτω P; λήσεαι O 18 τὰ P; τῶ O 19 κορνούτωι Pa, ?Vh 19 sq. cf. Praef. cap. E 20 εἰδοποιοῦντας P; εἴδη ποιοῦντας O 21 δύναιτο P; δύναται O

διαίρεσιν διαφορὰν λέγειν, ἀνάγειν δὲ αὐτὰ ὑπὸ τὰ τρία εἴδη, εἰ προσέχοι τοῖς ὑποκειμένοις προσώποις καὶ τῷ ἑκάστου τῶν τῆς ῥητορικῆς εἰδῶν τέλει. οἷόν τι λέγω· τοῦ δικανικοῦ τέλος τὸ δίκαιον, ὅπερ ἐκ ψήφου τῶν δικαστῶν κατὰ τοὺς νόμους κρινόντων δείκνυται· ἆρα οὖν οἱ ἀντιρρητικοί, ἐπεὶ πρός τινας ἔχουσι τοὺς ἀγῶνας, εἶεν ἂν τοῦ δικανικοῦ; ἀλλ' οὐκ ἂν εἴποι τις· οὐδὲ γὰρ οἱ ἀκροαταὶ ὑπόκεινται ὡς μέλλοντες ζημίαν ἐπάγειν τινά, ἣν νόμοι διώρισαν, ὥστε μᾶλλον ἂν [εἴη] ὑπὸ τὸ πανηγυρικὸν εἶδος τάττοιντο. καὶ ὅλως τοὺς νουθετικούς, τοὺς χαριστηρίους, τοὺς πρὸς ἀπολογίαν αἰτιῶν οὐκ ἐχουσῶν τιμωρίαν ἐκ νόμων ἑπομένην, ἀλλὰ πρὸς διαβολὴν μόνην μεμηχανημένους, πάντας τοὺς περὶ ⟨τῶν⟩ τοιούτων πραγμάτων ἔστι τάττειν ⟨ὑπὸ⟩ τὰ τρία εἴδη, εἰ βούλοιτό τις βιάζεσθαι καὶ μὴ προσδέχεσθαι τὴν εἰς πλείονα τομήν, τὰς δὲ ὕλας, δι' ὧν κατασκευάζονται, ἐπιπλέκειν. εἰ γὰρ καὶ ἐπὶ τοῦ Πανηγυρικοῦ Ἰσοκράτους καὶ ἐπὶ τοῦ ⟨Περὶ τοῦ⟩ στεφάνου Δημοσθένους, ὁμολογουμένως ὄντων τοῦ μὲν τοῦ δικανικοῦ, τοῦ δὲ τοῦ συμβουλευτικοῦ ⟨εἴδους⟩, αἱ ὗλαι ἐκ τοῦ πανηγυρικοῦ παρελήφθησαν, τί κωλύει τὰς αὐτὰς εἶναι μίξεις καὶ ἐπιπλοκὰς καὶ ἐπὶ τῶν ἄλλων

---

10 sq. cf. Ac **18** sq. cf. Syrian. II 10, 5 sq. 44, 21 sq. R. **20** sq. cf. Ac **21** sq. cf. Syrian. II 45, 15 R.

---

1 *διαφορὰν* P; *διάφορον* O *ὑπὸ* Brinkmann; *ἐπὶ* O P **2** *προσέχοι* P; *προσέχῃ* O **3** *ἑκάστου* P; *ἑκάστῳ* O **6** *ἀντιρρητι^{οι}κῶς* O **7** *εἴποι* P; *εἴπῃ* O **9** *εἴη* om. P **10** *τοὺς νουθετικοὺς* Ac; *τοὺς νομοθετικοὺς* P; *τὰ νουθετικὰ* O **11** *τοὺς χαριστηρίους* P Ac; *τὰ χαριστηρικὰ* O [*ἐχουσῶν* del.] *αἰτιῶν* O **13** *μόνον* O *μεμηχανουμένους* O *τῶν* add. P **14** *ἔξεστι τάττειν ὑπὸ τὰ εἴδη τὰ τρία* P **16** *κατασκευάζοντες^{ας}* O **18** *περὶ τοῦ* add. Pc, *περὶ* Pa Vh cf. 48,11 *ὄντος* P **19** *εἴδους* add. P **21** *τὰς αὐτὰς* O; *τοιαύτας* P

εἰδῶν, ἵνα ἔχῃ ἕτερόν τι τέλος ὁ λόγος, ὅπερ ἐκ τῶν ὑποκειμένων μὲν ἀκροατῶν εὑρίσκεται, ἐξ ἑτέρας δὲ ὕλης κατασκευάζεται; οὕτω καὶ ὁ Ὑπὲρ τῶν τεσσάρων Ἀριστείδου τοῦ ἀντιρρητικοῦ ἂν λέγοιτο ⟨καὶ πολλοὶ ἂν εὑρεθεῖεν λόγοι καὶ αὐτοῦ τοῦ Ἀριστείδου⟩ καὶ τῶν κατ' αὐτὸν καὶ τῶν χρόνοις ὕστερον σοφιστῶν δυνάμενοι δεικνύναι καλῶς δόξαντας καὶ τοὺς στῆναι μέχρι τριῶν εἰδῶν ἑλομένους. ἀλλὰ περὶ μὲν τούτων τοσαῦτα.

Ἐλέγομεν δὲ ἀνωτέρω, ὅτι καὶ περὶ πραγμάτων ἀσχολεῖται εὐφημίας τὸ ἐγκώμιον· τὰ δὲ πράγματα ἢ ἄψυχά ἐστιν, ὄντα ἐν σώμασιν οἷον ἀσπὶς ἢ δόρυ ἢ λίθος ἢ ἄλλο τι τοιοῦτον, ἢ ἀσώματα οἷον ἡ ῥητορικὴ καὶ ὅλως τὰ ἐν ἐπιτηδεύμασιν· εἰκὸς οὖν τινα ζητῆσαι, πῶς οὖν ταῦτα ἐγκωμιάσομεν καὶ εἰ δυνατὸν τοῖς αὐτοῖς χρῆσθαι κεφαλαίοις, οἷσπερ καὶ ὅταν ἄνδρα τινὰ ἐπαινῶμεν. δεῖ τοίνυν εἰδέναι, ὅτι καὶ ἐπὶ τούτων τοῖς ἐνδεχομένοις τῶν ἐγκωμίων τόποις χρησόμεθα, οἷον τυχὸν ἐπὶ τῶν ἐπιτηδευμάτων ἀντὶ μὲν γένους παραλαμβάνοντες τοὺς εὑρόντας ἢ πρώτους χρησαμένους αὐτοῖς, ἀντὶ δὲ ἀγωγῆς τὴν ἐν αὐτοῖς ἄσκησιν, ἀντὶ δὲ πράξεων τὰς χρείας, ἃς πληροῖ τῷ τῶν ἀνθρώπων βίῳ, καὶ τὰς ὠφελείας, καὶ ἐφ' ἑκάστου

---

9 cf. Theo. 112, 14; Herm. 14, 20; Aphth. 36, 4 9 sq. cf. Sard. 10 sq. cf. Ac 15 — p. 58, 8 Sard. 16 cf. Herm. 17, 12

---

1 *ἔχει*^{η} O *ἕτερόν τι ἔχῃ* P 3 cf. 34, 10 4 *λέγοιτο* P Ac; *ἐλέγετο* O 4. 5 add. P 6 *δυνάμενοι* P; *δυναμένους* O 7 *δόξαντες*^{ας} O *τοὺς* P; *τοῦ* O *στῆναι μέχρι*: cf. Brinkmann *Rhein. Mus.* 59, 319 8 *τοσαῦτα* O Pa Vh; *ἐπὶ τοσοῦτον* Pc 9 p. 48, 20 sq. *καὶ* om. P 9. 10 *εὐφημίας ἀσχολεῖται* P 11 *ἐστιν* O; *εἰσιν* P *οἷον* O Pa Vh; *ἢ* Pc 12 *τοιοῦτον* P; *τοιούτων* O *ἡ* om. P *ὅλως* P; *ὅλ*^{ο} O 13 *πῶς* [*οὖν*] Brinkmann 15 *ἄνδρα* P; *ἀν*^{τ} O 16. 17 *τόποις τῶν ἐγκωμίων* Sard. 19 *πρώτους* Ac; *πρώτως* O P; *πρῶτον* Sard. 20 *πληροῖ* O P; *πληροῦσιν* Sard. 21 *τῷ* supr. O

τῶν ἄλλων οὕτως. ἐπεὶ καὶ αὐτῶν τῶν εἰς ἔμψυχα γινομένων ἐπαίνων οἳ μέν εἰσι κοινοί, οἷον ἀνθρώπου ⟨ἢ⟩ ἵππου, οἳ δὲ ἴδιοι οἷον Σωκράτους ἢ ἄλλου τινός· καὶ ἐπ' ἐκείνων οὖν τῶν κοινῶν τῶν ἐνδεχομένων δεῖ στοχάζεσθαι. καὶ ὅλως αὐτὸν τὸν λέγοντα δεῖ, κατὰ ⟨τὸν⟩ Ἰσοκράτην ⟨φάναι⟩, μανθάνειν μὲν τὰς διαιρέσεις, κριτὴν δὲ εἶναι τῆς χρήσεως καὶ συμβαίνοντας καὶ καιροῖς καὶ προσώποις καὶ πράγμασι ποιεῖσθαι τοὺς λόγους.

Φασὶ δὲ ‛ἐν τοῖς ἐγκωμίοις ἐπιτηδεύειν δεῖ τὴν γλαφυράν τε καὶ ἁβροτέραν καὶ θεατρικὴν φράσιν μετά τινος σεμνότητος'. ὥσπερ γὰρ ἐν τοῖς συμβουλευτικοῖς ὄγκου δεόμεθα καὶ ἀξιώματος, καὶ ἐν τοῖς δικανικοῖς σφοδρότητός⟨τινος⟩ τῆς ἔμψυχον τὸν ἀγῶνα ποιούσης, οὕτω καὶ ἐν τοῖς πανηγυρικοῖς τῆς ὀφειλούσης ἡδονὴν ἐμποιῆσαι, ὅπερ ἔφην, μετὰ τοῦ σεμνοῦ τρυφῶσιν ἀνθρώποις καὶ σχολάζουσιν.

Ἅπαντα οὖν, ὅσα ἐχρῆν ὑμᾶς μαθεῖν, ὦ φίλτατοι παῖδες, περὶ ἐγκωμίου, ἀρκούντως ⟨εἴρηται⟩.

---

9 sq. Ac; Max. 47, 3 sq.   17—18 Sard.

---

1. 2 *γινομένων* O P; *γενομένων* Sard.   2 *ἢ* add. P Sard.   4 *τῶν μὲν ἐνδεχομένων* P, cf. 44, 1; *τὰ μὲν δεχόμεθα* O; *τὰ ἐνδεχόμενα* Sard.   5. 6 *κατὰ τὸν ἰσοκράτην φάναι* P; (*φάναι* om.) Sard.; *κατὰ ἰσοκράτους* O   cf. M. Sheehan, De fide artis rhet. Isocrati tributae, p. 9. 43   7 *χρήσεως* Ac Sard.; *κρίσεως* O P   alt. *καὶ* om. Pc Ac Sard.   9 *ἐγκωμίοις ὅτι* P   12 *θεόμεθα* O   12. 13 *σφοδρότερον*, mg. *τητος*, O   13 *τινος* add. P   14 *ἡδονεῖν* O   *ἐμποιῆσαι* O Pa; *ἐμποιεῖν* Pc Ac (Vh deest)   15 cf. l. 10 sq.

17 *ὑμᾶς* P; *ἡμᾶς* O   18 *ἀρκούντως εἴρηται* P, (*εἴρη*) Sard. Vω; *ἀρκοῦντος* O   sequuntur in P Sard.: *καὶ ἴσως οὐ δεῖσθέ* (*οὐκ ἔδει*, om. *ἴσως*, Sard.) *τινος* (*τινος* om. P) *πρὸς τοῦτο διαιρέσεως τῶν εἰρημένων ἱκανῶν ὄντων ὑμᾶς ἐπιστῆσαι καὶ* (*ὑμᾶς* — *καὶ* om. Sard.) *δοῦναι ὁδὸν τῆς τοῦ προγυμνάσματος τούτου μελέτης*, cf. Praef. cap. B IV v. fin.

Περὶ συγκρίσεως.

Τὴν καλουμένην σύγκρισιν οἱ μὲν οὐδὲ ὅλως ἔταξαν ἐν τοῖς προγυμνάσμασι διὰ τὸ ἔν τε τοῖς κοινοῖς τόποις, ἡνίκα τοῦ νῦν κρινομένου πράγματος πρὸς ἕτερα ἀδικήματα ἐποιούμεθα τὴν ἐξέτασιν, καὶ ἐν αὐτοῖς τοῖς ἐγκωμίοις, ὅπου τῇ πρὸς ἕτερον παραθέσει μεγάλα ἐπιδεικνύναι ἐπειρώμεθα τὰ τοῦ νῦν ἐπαινουμένου, ἱκανὴν αὐτῆς γεγενῆσθαι τὴν μελέτην· ἔνιοι δὲ εἶναι μὲν καὶ αὐτὴν ἐβουλήθησαν τῶν ἄλλων προγυμνασμάτων, ἔταξαν δὲ ὅμως πρὸ τοῦ ἐγκωμίου. ὧν οὐδετέρους ἄν τις ἐπαινέσειεν· οὐ γάρ, ἐπειδὴ ὡς μέρος παρελήφθη, διὰ τοῦτο ἔδει ἢ μηκέτι αὐτὴν καὶ ὡς ὅλην ἐξετασθῆναι, ἢ ἐξεταζομένην τετάχθαι μετὰ τὸ ἐγκώμιον· ὅτε μὲν γὰρ ὡς μέρος παρελαμβάνετο, καὶ μάλιστα ἐν τῷ κοινῷ τόπῳ, καθ' ἕτερον τρόπον ἡ ἐργασία αὐτῆς ἐγίγνετο συγκρινόντων ἡμῶν ἢ πρὸς ἴσον ἢ πρὸς ἔλαττον ἢ πρὸς τὸ κρεῖττον, ὅπερ ἐν αὐτῇ τῇ συγκρίσει οὐ γενήσεται, ἀλλ' οὐδὲ ἐν αὐτῷ τῷ καλουμένῳ ἐγκωμίῳ ὅλον πρὸς ὅλον ἡ ἐξέτασις ἔσται, ἀλλὰ μέρους πρὸς μέρος. οἷον ἐξετάζοντες τὴν εὐγένειαν τοῦδε τοῦ νῦν ἐπαινουμένου βουλόμεθα αὐτὸν δεῖξαι μηδὲν εὐγενείᾳ τυχὸν Ἀχιλλέως λειπόμενον· ἐνταῦθα βραχύ τι ἐκ τῶν περὶ Ἀχιλλέως ἱστορουμένων παραλαμβάνοντες, ὅσον πρὸς τὴν χρείαν

1 — p. 63, 9: P 637, 17—640, 13

4 *κινουμένου* Pc 4. 5 (*ἀδικήματα* om.) *ποιούμεθα* Pc 5 *ἐν τοῖς αὐτοῖς* Pc 6 *ἕτερον* Vh; *ἕτερα* Pa c 8 *αὐτοῖς* P 9 *ἐβουλήθησαν* Pa Vh; *ἐμελέτησαν* Pc *ἄλλων* om Pc 12 pr. *ἢ* om. Pc 13 *πρὸ τοῦ ἐγκωμίου* Brinkmann 20 *λεγομένου ἢ* post *νῦν* add. Pc 21 *μήδὲ ἐν* Pc

13 sq. cf. Max. 49, 1 sq. 14 cf. Herm. 18, 16. 18; Aphth. 42, 30 18 sq. cf. Dox. 478, 23

ἡμῖν ἀρκεῖ, τἆλλα τὰ περὶ τοῦ ἥρωος παραλείψομεν, ἐπεὶ συμβαίνει μεῖζον εἶναι τοῦ ἔργου τὸ πάρεργον καὶ τὸν ἅπαντα ἡμῖν περὶ τοῦτο δαπανᾶσθαι λόγον. πρὸ τοῦ ἐγκωμίου δὲ αὐτὴν τάττειν οὐκ ἐχρῆν, ἐπειδὴ διπλοῦν ἐστιν ἐνταῦθα ἐγκώμιον· ἔστι γὰρ σύγκρισις λόγος τὸ βέλτιον ἢ χεῖρον παριστάς, ἤτοι οὕτως· σύγκρισίς ἐστι παράλληλος ἐξέτασις ἀγαθῶν ἢ φαύλων ἢ προσώπων ἢ πραγμάτων, δι' ἧς πειρώμεθα ἢ ἴσα ἀλλήλοις ἀμφότερα δεικνύναι τὰ προκείμενα, ἢ τὸ ἕτερον προέχον τοῦ ἑτέρου. ἐν τοίνυν τῇ συγκρίσει καλουμένῃ, λέγω δὴ ἐν τούτῳ τῷ προγυμνάσματι, τέως τὴν πρὸς τὸ ἔλαττον σύγκρισιν, ἣν ἐν τῷ κοινῷ τόπῳ κατ' ἐπιτίμησιν παραλαμβάνομεν, φευξούμεθα ἤδη. εἰ τοίνυν διπλοῦν ἐστιν ἐγκώμιον ἡ σύγκρισις, πῶς εἰκὸς ἦν τοῦ ἁπλοῦ τὸ διπλοῦν προτάττειν; οὐκ ἄρα οὖν πρὸ τοῦ ἐγκωμίου ταχθήσεται.

Ἔστι δὲ καὶ αὐτὴ τῶν μερῶν καὶ ὅλων· καὶ γὰρ ὡς μέρος παραληφθήσεται, ὥσπερ ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς κοινοῖς τόποις, καὶ ὡς ὅλον, ὥσπερ ὅταν τυχὸν προκέηται καλοῦ βίου γέρας καὶ ἀμφισβητῶσι πρὸς ἀλλήλους δύο τινὲς ἐπ' αὐτῷ διαπρέψαντες.

1 παραλείψομεν Pa; παραλήψομεν Vh; καταλείψομεν Pc 3 τούτου Vh 5 τὸ ἐγκώμιον Pc 7 [ἢ] προσώπων Finckh, at cf. 61,4 9 προσέχον Vh 18. 19 πρόκειται P; correxi 19 ἀμφισβητοῦσι Pa Vh 20 διατρίψαντες Pc

3 Ac: διαφέρει δὲ τοῦ ἐγκωμίου, ὅτι τὸ μὲν ἁπλᾶ, ἡ δὲ διπλᾶ ἔχει τὰ κεφάλαια. διὰ τοῦτο καὶ ὑποτέτακται· ἀεὶ γὰρ τὰ ἁπλᾶ τῶν διπλῶν προτίθεται Ac: ⟨Aphth. 42, 25 Sp.⟩ «καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστιν·» ἐν μὲν γὰρ τῷ ἐγκωμίῳ περὶ ἑνὸς ἀγωνίζεται, ἐνταῦθα δὲ περὶ δύο 5 Ac: σύγκρισίς ἐστι λόγος τὸ βέλτιον ἢ χεῖρον παριστὰς ἢ παράλληλος ἐξέτασις ἀγαθῶν ἢ φαύλων 16 Ac: ἔστιν ἡ σύγκρισις τῶν καὶ μερῶν καὶ ὅλων, καὶ εἴδους πανηγυρικοῦ

2 cf. Herm. 35, 9; Agathon. fr. 11 N.[2] 5 Theo. 112, 20 7 cf. Theo. 112, 21; Herm. 19, 4 8 cf. Herm. 19, 19 9 cf. Theo. 113, 1

Χρησόμεθα δὲ διαιρέσει καὶ ἐνταῦθα, ᾗπερ ἐν τῷ ἐγκωμίῳ, τοσοῦτον μόνον εἰδότες, ὅτι διπλᾶ εὑρίσκεται ἐν αὐτῇ τὰ κεφάλαια, καὶ ὥσπερ ἐκεῖ τὰ ἐνδεχόμενα ζητήσομεν, τοῖς ὑποκειμένοις ἀκολουθοῦντες ἢ προσώποις ἢ πράγμασι· τοσαῦτα δὲ ἢ καλὰ ἢ μὴ ἀλλήλοις συγκρινοῦμεν, ὅσα δὴ ἐγκωμιάζομεν ἢ ψέγομεν. οὐδὲν οὖν δεῖ ἐνταῦθα πλέον περὶ τούτων λέγειν. ἐκεῖνο δὲ χρὴ μόνον προσθεῖναι, ὅτι, εἴτε ἀγαθῶν εἴτε κακῶν ποιούμεθα ἐξέτασιν, δεῖ μὴ καθαιρέσει τῶν ἀντεξεταζομένων αὔξειν τὰ ἡμέτερα· οὐ γὰρ οὕτω μεγάλα ταῦτα ἐπιδείξομεν, ἀλλὰ τότε ἔσται τὰ ἡμέτερα μεγάλα, ὅταν μεγάλων μείζονα φανῇ, ὡς τὸ Ὁμηρικὸν

«πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων»·

οἷον ἐθέλομεν Θεμιστοκλέα Παυσανίου δεῖξαι βελτίονα· οὐκ ἐρεῖ πρὸς αὐτὸν Θεμιστοκλῆς, ὅτι οὐδὲν ἀγαθὸν διεπράξατο εἰς τοὺς Ἕλληνας, ἀλλ' ὅτι ἔπραξας μὲν καὶ σὺ πολλὰ καὶ μεγάλα, τὰ δὲ ἐμὰ πολλῷ τῶν σῶν κρείττονα. καὶ ἐπὶ τῶν κακῶν ὁμοίως, ὡς ὑπέδειξεν ἡμῖν ὁ Δημοσθένης εὐθὺς ἐν τῷ προοιμίῳ τοῦ Κατ' Ἀνδρο-

---

1 *ᾗπερ καὶ ἐν* Finckh 7 *μόνον χρὴ* Pc 11 *ἐστὶ* P; corr. Finckh 13 Hom. *X* 158 15 *θεμιστοκλέα ἐθέλομεν δεῖξαι πανσανίου* Pc 18 *τῶν σῶν* Finckh; *τῶ μέσω* P

---

1 Ac: *ἡ σύγκρισις τοῖς αὐτοῖς τῷ ἐγκωμίῳ διαιρεῖται κεφαλαίοις, πλὴν διπλᾶ ἔχει τὰ κεφάλαια· δύο γὰρ τὰ συγκρινόμενα πράγματα· καὶ χρησόμεθα ὡς κἀκεῖ τοῖς ἐμπίπτουσι καὶ συγκρίνομεν ἀλλήλοις, ὅσα δὴ ἐγκωμιάζομεν ἢ ψέγομεν. δεῖ δὲ μὴ καθαιρέσει τῶν ἐξεταζομένων αὔξειν τὰ ἡμέτερα· οὕτω γὰρ οὐ μεγάλα δειχθήσεται· ἀλλὰ τὰ μεγάλα ἐπὶ τοῦ οἰκείου μεγέθους ἐῶντες τότε μείζονα τὰ ἡμέτερα ἀποδεικνύναι πειρασόμεθα, ὡς καὶ Ὅμηρος «πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων» καὶ ἐπὶ τῶν κακῶν Δημοσθένης ἐν τῷ Κατ' Ἀνδροτίωνος μεῖζον τὸ εἰς αὐτὸν ἀδίκημα ἔδειξε διὰ τοῦ εἰς Εὐκτή-*

---

1 cf. Herm. 19, 3 6 cf. Aphth. 42, 28 7 sq. Max. 49, 7 sq.

τίωνος· Διόδωρος γὰρ οὐκ εἶπεν, ὅτι 'οὐδὲν Εὐκτήμων παρ' αὐτοῦ ἠδίκηται', ἀλλ' ὅτι 'πολλὰ μὲν ἠδίκηται καὶ μεγάλα, πολλῷ δὲ ἐγὼ μείζονα', καὶ οὕτω τῇ τῶν γενομένων εἰς Εὐκτήμονα αὐξήσει τὰ ἑαυτοῦ αὐξήσας ἔλαθε.

Φράσιν δὲ ὁμοίως κἀνταῦθα πομπικὴν καὶ θεατρικὴν εἶναι δεῖ, τοῦ σεμνοῦ μὴ ἀφισταμένην. τριῶν γὰρ ὄντων τῶν τῆς ῥητορικῆς μερῶν τοῦ μὲν ἑνός, λέγω δὴ τοῦ ἐγκωμίου, φανείη ἂν ἰσότιμος, γυμνάσει δὲ ἡμᾶς καὶ πρὸς τὰ ἄλλα· καὶ γὰρ συμβουλεύοντες βουλόμεθα τῶν ὑφ' ἑτέρων λεγομένων τὰ ἡμῶν αὐτῶν δεῖξαι καλλίονα, καὶ κατατρέχοντες τῶν ἀδικημάτων τὸ αὐτὸ τοῦτο ἐργασόμεθα καὶ τὰ νῦν ταῦτα πάντων ἐπιχειρήσομεν δεικνύναι μείζονα. καὶ ὅλως πολυσχιδὴς τούτου ἡ χρεία, ὥσπερ καὶ τοῦ ἐγκωμίου, καὶ καθ' ἑαυτὸ ὡς ὅλου παραλαμβανομένου καὶ μεθ' ἑτέρου ὡς μέρους.

Πέντε δ' ὄντων τῶν μερῶν τοῦ λόγου γυμναζόμεθα ἐν αὐτῷ καὶ εἰς προοιμίων εὑρέσεις καὶ εἰς διηγήσεων μεταχειρίσεις, ἐν οἷς ὡς διηγούμενοι τὰ πλεονεκτήματα λέγομεν, καὶ εἰς ἀγώνων σφοδρότητας, ἐν οἷς ἢ ὅμοια

---

1 *οὐκ* om. Pc 2 cf. Dem. 22, 1 7 *τῆς* om. Vh 9 *βουλόμεθα* Ac O; *δεόμεθα* P 13 *μείζονα* Pa Vh; *βελτίονα* Pc 15 fort. *ἑτέρων* *ἢ* add. Pc post *ἑτέρου*

μονα μεγάλως ἁμαρτῆσαι Ἀνδροτίωνα κατασκευάσαι· μεγάλα γάρ, φησίν, Εὐκτήμων παρ' αὐτοῦ ἠδίκηται, πολλῷ δὲ μείζω ἐγώ. φράσιν δὲ κἀνταῦθα πομπικὴν καὶ θεατρικὴν εἶναι δεῖ τοῦ σεμνοῦ μὴ ἀφισταμένην. γυμνάζει δὲ ἡμᾶς τὸ παρὸν πρὸς πάντα τὰ εἴδη· τοῦ μὲν ἐγκωμίου ἰσότιμον ⟨ἂν⟩ φανείη· συντελέσει (συντελέσοι Ac) *δὲ τῷ συμβουλευτικῷ, ἐν οἷς τὰ ἡμέτερα κρείττω φανῆναι βουλόμεθα τῶν ὑφ' ἑτέρων λεγομένων. ἀλλὰ καὶ τῷ δικανικῷ, ἡνίκα κατατρέχοντες ἀδικήματος τὸ αὐτὸ ἐργασόμεθα. καὶ δὴ καὶ ἐν τοῖς ⟨ε'⟩ μέρεσι τοῦ πολιτικοῦ λόγου· προοιμίων τε γὰρ εὑρέσεις διὰ τούτου ποιησόμεθα καὶ διηγήματα μεταχειρισόμεθα τὰ πλεονεκτήματα λέγοντες τοῦ ὑποκειμένου προσώπου· καὶ εἰς ἀγώνων σφοδρότητας (φαιδρότητας* Ac), *ἐν οἷς ἢ ἴσα ἀποδεικνύναι πειρώμεθα ἢ μείζω· καὶ εἰς ἐπιλόγων πάθη, ἐν οἷς καταπαύομεν τὰς ὑποθέσεις. εἰ δὲ περὶ ἀνθῶν ὁ λόγος*

ἀποπειρώμεθα δεικνύναι ἢ μείζονα, καὶ εἰς ἐπιλόγων πάθη, ἐν οἷς καταπαύομεν τὰς ὑποθέσεις.

Εἰ δὲ ἀνθέων ἡμῖν ἢ φυτῶν ἢ τοιούτων ὅλως γίνοιτο ἡ ἀντεξέτασις, ἐξέσται ἡμῖν καὶ ἀνειμένῃ χρήσασθαι τῇ φράσει, ὥστε μηδὲ ἀναγκάζεσθαι διὰ πάντων τῶν κεφαλαίων ἰέναι μηδὲ ζητεῖν παραιτήσεως τρόπους, τῆς ἀνειμένης φράσεως ἐχούσης ἄδειαν μὴ σφόδρα ἕπεσθαι τῇ τεχν⟨ικ⟩ῇ τῶν ἐγκωμίων τῶν διὰ τοῦ συντόνου χαρακτῆρος τιθεμένων [ἐν] διαιρέσει.

Περὶ ἠθοποιίας.

Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες, τὴν δὲ ἠθοποιίαν μετὰ τὴν θέσιν οὕτως ἔγραψαν· ʻκαλῶς μετὰ τὴν θέσιν ἡ ἠθοποιία τέτακται· τρόπον γάρ τινα ὁδός ἐστιν ἀπὸ τῆς θέσεως διὰ ταύτης ἐπὶ τὰς τελείας ὑποθέσεις. οἷόν ἐστί τις θέσις, εἰ φιλοσοφητέον· αὕτη κατασκευάζεται δι' ὧν εἴπομεν ἐργασιῶν ἐν τοῖς περὶ αὐτῆς λόγοις· ἐν δὲ τῇ ἠθοποιίᾳ ἐροῦμεν· γεωργὸς φιλοσοφεῖν τὸν υἱὸν προτρέπεται· προστεθεῖσα οὖν ἡ τοῦ πατρὸς ποιότης οὔπω μὲν ἐποίησε τελείαν ὑπόθεσιν, ἐπειδὴ ἔτι λείπει τῇ περιστάσει, τελειοτέραν μέντοι ἔδειξεν ἢ κατὰ τὴν θέσιν'. καὶ οὕτω μὲν ἐκεῖνοι γεγράφασιν· ἀλλ' ἡμεῖς τῷ κεκρατηκότι ἔθει ἑπόμενοι καὶ τὴν ἠθο-

10 — p. 67, 15: P 643, 23—646, 14

8 δὲ Pa Vh; γὰρ Pc   7 φράσεως Pa Vh; φύσεως Pc   8 τοῦ om. Vh   18 ἡ om. Vh   18 προτρέπει Brinkmann   20 λείπεται Vh   21 οὕτως Pa c

ἢ φυτῶν, ἐξέσται καὶ ἀνειμένῃ χρήσασθαι φράσει καὶ μὴ διὰ πάντων τῶν κεφαλαίων ἰέναι μηδὲ τῇ τεχνικῇ τῶν ἐγκωμίων ἕπεσθαι διαιρέσει

4 Max. 49, 25 sq.

ποιίαν εὐθὺς μετὰ τὴν σύγκρισιν τιθέντες φαμέν· ἠθοποιία ἐστὶ λόγος ἁρμόζων τοῖς ὑποκειμένοις, ἦθος ἢ πάθος ἐμφαίνων ἢ καὶ συναμφότερα. ἁρμόζων μὲν τοῖς ὑποκειμένοις, ἐπειδὴ δεῖ στοχάζεσθαι καὶ τοῦ λέγοντος καὶ πρὸς ὃν λέγει. ἦθος δὲ ἢ πάθος ἢ καὶ συναμφότερα, ἐπειδὴ ἢ πρὸς τὰ καθόλου τις ἀποβλέπει ἢ πρὸς τὸ ἐκ περιστάσεως γενόμενον· ταύτῃ γὰρ ἦθος πάθους διαφέρει· οἷον εἰ λέγοιμεν ὅτι ποίους ἂν εἴποι λόγους δειλὸς ἐπὶ μάχην μέλλων ἐξιέναι, τοῦ καθόλου τοῖς δειλοῖς προσόντος ἤθους φροντιοῦμεν· εἰ δὲ λέγοιμεν, ποίους ἂν εἴποι λόγους τυχὸν Ἀγαμέμνων ἑλὼν τὴν Ἴλιον, ἢ Ἀνδρομάχη πεσόντος Ἕκτορος, δώσει τὴν εὐπορίαν τὰ πάθη τὰ νῦν γενόμενα.

Τῶν δὲ ἠθοποιιῶν αἳ μέν εἰσιν ἠθικαί, αἳ δὲ [εἰσι] παθητικαί, αἳ δὲ μικταί· ἠθικαὶ μὲν καὶ παθητικαί, ἃς ἤδη ἐδηλώσαμεν, μικταὶ δὲ αἱ ἀπὸ ἀμφοῖν, οἷον ἐὰν εἴπω, ποίους ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐξιὼν ἐπὶ πόλεμον μετὰ τὴν τελευτὴν τοῦ Πατρόκλου· προσθήσω γὰρ τῷ ἤθει καὶ τὰ ἐκ τοῦ πάθους καὶ μικτὴν ἐργάσομαι.

Τὴν δὲ προσωποποιίαν καλουμένην, οὖσαν σχεδὸν τὴν αὐτὴν τῇ ἠθοποιίᾳ, ἕτεροι ἑτέρως διαφέρειν αὐτῆς ἐνό-

---

6 pr. ἢ Pc; om. Pa Vh τὸ om. Pc 7. 8 διαφέρει Pc; φέρει Pa Vh 11 τὸν Pa 13 γινόμενα Pc 14 εἰσι om. Pc 17 εἴπῃ Pa 21 αὐτὰς (pro αὐτῆς) P

---

1 Ac: ἠθοποιία ἐστὶ λόγος ἁρμόζων τοῖς ὑποκειμένοις, ἦθος ἢ πάθος ἐμφαίνων ἢ καὶ συναμφότερα 7 Ac: διαφέρει ἦθος πάθους τῷ καθολικῷ· εἰ γὰρ λέγοιμεν, ποίους ἂν εἴποι λόγους δειλὸς ἐπὶ μάχην μέλλων ἐξιέναι, τοῦ καθόλου τοῖς δειλοῖς προσόντος ἤθους φροντιοῦμεν· εἰ δὲ εἴποιμεν, ποίους ἂν εἴποι λόγους Ἀγαμέμνων ἑλὼν τὴν Ἴλιον ἢ Ἀνδρομάχη πεσόντος Ἕκτορος, δώσει τὴν εὐπορίαν τὸ ἐκ περιστάσεως γεγονὸς πάθος

---

12 cf. Herm. 20, 8 14 cf. Herm. 21, 10 sq.; Aphth. 45, 6 17 cf. Herm. 21, 16 sq.; Aphth. 45, 12

μισαν· οἳ μὲν γὰρ προσωποποιίαν ἐκάλεσαν τὴν ἔχουσαν ὡρισμένα καὶ τὰ πρόσωπα καὶ τὰ ὑποκείμενα πράγματα, ἠθοποιίαν δὲ τὴν πανταχόθεν ἀναπλαττομένην, ἣν καὶ ῥῆσιν καλοῦσι, τοῦτο αὐτῇ τιθέντες ὄνομα· εἰσὶ δέ, οἳ καὶ κάλλιστον ἔδοξαν, ἠθοποιίαν μὲν τὴν ἐκ τῶν ὡρισμένων προσώπων, προσωποποιίαν δέ, ἐν ᾗ καὶ πρόσωπα πλάττομεν καὶ περιτίθεμεν αὐτοῖς λόγους· ταύτην δὲ μάλιστα τοῖς ποιηταῖς ἀνατιθέασιν, οἷς ἔστι καὶ τὰ ἄψυχα μεταπλάττειν εἰς πρόσωπα ἐξουσία καὶ περιποιεῖν αὐτοῖς ῥήματα.

Καὶ περὶ τὴν διαίρεσιν δὲ πολλῆς οὔσης τοῖς περὶ αὐτῆς διαλαμβάνουσι τῆς διαφορᾶς τὴν κρατοῦσαν δεῖ ἐκθέσθαι, ὅτι τρισὶ χρόνοις διαιρεῖται, ἐνεστῶτι, παρεληλυθότι καὶ μέλλοντι· ἃ γάρ τινες ὠνόμασαν κεφάλαια, ταῦτα ἐνθυμήματά εἰσι τῶν περὶ ἕνα τῶν χρόνων τούτων εὑρισκομένων. ἀρξόμεθα οὖν ἀπὸ τοῦ ἐνεστῶτος καὶ ἀναδραμούμεθα ἐπὶ τὸν παρεληλυθότα χρόνον, εἶτα ἐκεῖθεν πάλιν ἀναστρέψομεν ἐπὶ τὸν ἐνεστῶτα· οὐ γὰρ ἀμέσως ἥξομεν ἐπὶ τὸν μέλλοντα, ἀλλὰ μνημονεύσομεν διὰ βραχέων τῶν νῦν συνεχόντων καὶ οὕτως ἐξετάσομεν τὰ μέλλοντα. οἷον ἡ ἠθοποιία· ποίους ἂν εἴποι λόγους

4. 5 exsp. εἰσὶ δὲ οἳ — καὶ <οὗτοι> κάλλιον ἔδοξαν — (cf. 57,7) 7 παρατίθεμεν Pc ταῦτα Vh 11 πολλοῖς οὖσι Vh; πολλ[ῆς ex οἷς] οὔσης Pa τοῖς Pa Vh; τῆς Pc 17 ἀναδραμούμεθα Vh; ἀναδραμοῦμεν Pa c 20 συνεχόντων Pc Ac; ἐχόντων Pa Vh 21 εἴπῃ Pa Vh

16 Ac: ἐν τῇ ἠθοποιίᾳ δεῖ μὲν ἀπὸ τοῦ ἐνεστῶτος ἄρχεσθαι, ἀνατρέχειν δὲ ἐπὶ τὸν παρεληλυθότα, εἶτα πάλιν ἐπὶ τὸν ἐνεστῶτα· οὐ γὰρ ἀμέσως ἥξομεν ἐπὶ τὸν μέλλοντα, ἀλλὰ μνημονεύσομεν διὰ βραχέων τῶν νῦν συνεχόντων καὶ οὕτως ἐξετάσομεν τὰ μέλλοντα 21 Ac: ποίους ἂν εἴποι λόγους Πηλεύς, τὸν θάνατον ἀκούσας Ἀχιλλέως· οὐκ εὐθὺς ἀναμνησθήσεται τῆς πάλαι εὐδαι-

5 sq. cf. Sard.; Dox. 497, 10 sq. 6 cf. Herm. 20, 13; Aphth. 44, 23 7 cf. Herm. 20, 9; Aphth. 45, 1 11 sq. cf. Theo. 116, 15 sq.; cf. Sard. 13 sq. cf. Herm. 21, 19 sq.; Aphth. 45, 18

Πηλεύς, τὸν θάνατον ἀκούσας τοῦ Ἀχιλλέως· οὐκ εὐθὺς ἀναμνησθήσεται τῆς παλαιᾶς εὐδαιμονίας, ἀλλὰ πρότερον θρηνήσας τὴν παροῦσαν τύχην ἀντιπαραθήσει τὰ πάλαι αὐτῷ συμβεβηκότα ἀγαθά, τὸν γάμον τῆς θεᾶς, τὴν παρὰ τῶν θεῶν τιμήν, τὰς πολλὰς ἀριστείας, εἶτα δὲ δακρύσει τὰ νῦν, προστιθείς, οἷα ἐξ οἵων αὐτὸν περιέστηκε, καὶ οὕτως οἷον μαντεύσεται, πόσοις εἰκὸς αὐτὸν περιπεσεῖν κακοῖς δι' ἐρημίαν τοῦ βοηθήσοντος.

Χρὴ δὲ τὴν ἀπαγγελίαν κομματικωτέραν εἶναι μᾶλλον καὶ οἷον πρὸς ⟨...⟩ ἀλλὰ μὴ περιοδικῶς συμπληροῦσθαι· τὸ γὰρ περὶ τὴν φράσιν καταγίνεσθαι πάθους ἀλλότριον, ἴδιον δὲ καὶ χαιρόντων καὶ θρηνούντων τὸ συντόμως καὶ διὰ βραχέων ἕτερα ἐφ' ἑτέροις ἐπάγειν. οὐ δόξει οὖν πεπονθέναι ⟨δ⟩ ἐν καιρῷ τοιούτῳ κάλλους τοῦ περὶ τὴν φράσιν ἐπιμελόμενος.

Ἔστι δὲ καὶ τοῦτο τὸ προγύμνασμα πρὸς τὰ τρία εἴδη τῆς ῥητορικῆς χρήσιμον· καὶ γὰρ καὶ ἐγκωμιάζοντες καὶ

---

4 *πάλαι* Ac; *παλαιὰ* P 6 *προτιθεὶς* P; corr. Finckh *αὐτῶι* Pc 9 *κομματικωτέραν* Ac; *κομμωτικωτέραν* P (*κωμωτ.* Vh) 10 *οἵαν* Finckh hiatum indicavit Brinkmann *ἄλλα* P; *ἄλληλα* Finckh 11 *τοῦ πάθους* Pc 12 pr. *καὶ* om. Vh 15 *ἐπιμελούμενος* Pa Vh 16 *τὸ* om. Pa Vh 17 alt. *καὶ* om. Pc

---

μονίας, τοῦ γάμου τῆς Θέτιδος, τῆς παρὰ τῶν θεῶν τιμῆς, ἀλλὰ θρηνήσας πρότερον τὴν παροῦσαν τύχην ἀντιπαραθήσει τοῖς νῦν τὰ πάλαι· εἶτα δακρύσει τὰ νῦν, προστιθείς (*προτιθείς* Ac), *οἷα ἐξ οἵων αὐτὸν περιέστηκε, καὶ οὕτως οἷον μαντεύσεται, πόσοις καὶ οἵοις περιπεσεῖν αὐτὸν κακοῖς δι' ἐρημίαν τοῦ βοηθήσοντος* 9 Ac: *χρεία δέ ἐστι τὴν ἀπαγγελίαν κομματικωτέραν εἶναι μᾶλλον, ἀλλὰ μὴ περιοδικῶς συμπληροῦσθαι· τὸ γὰρ περὶ τὴν φράσιν καταγίνεσθαι πάθους ἀλλότριον. ἴδιον δὲ καὶ χαιρόντων καὶ θρηνούντων τὸ σύντομον* 16 Ac: *ἔστι δὲ πρὸς τὰ γ' εἴδη χρήσιμος. καὶ γὰρ καὶ ἐγκωμιάζοντες καὶ κατηγοροῦντες καὶ ἐκκλη-*

---

9 cf. Aphth. 45, 15 9—11 cf. Sard.; Max. 54, 15 12 sq. Sard. 16 sq. Dox. 494, 7 sq.; Max. 52, 6 sq. 17 cf. Theo. 115, 21

κατηγοροῦντες καὶ συμβουλεύοντες ἠθοποιιῶν πολλάκις δεόμεθα· ἐμοὶ δὲ δοκεῖ καὶ πρὸς τὸν ἐπιστολικὸν ἡμᾶς γυμνάζειν χαρακτῆρα, εἴ γε καὶ ἐν ἐκείνῳ δεῖ τοῦ ἤθους τῶν τε ἐπιστελλόντων καὶ πρὸς οὓς ἐπιστέλλουσι ποιεῖσθαι πρόνοιαν. αὐτὸ δὲ τὸ ἐπιστολικὸν εἴτε ὑφ' ἓν τούτων τῶν τριῶν ἀνάγεται εἴτε ὑφ' ἕτερον, οὐ τοῦ νῦν ἐστι καιροῦ σκοπεῖν, ἄλλως τε ἐπειδὴ καὶ περὶ αὐτῶν ἐν τοῖς περὶ ἐγκωμίων ἀρκούντως ὡς πρὸς εἰσαγωγὴν ἐλέχθη.

Προοιμίων δὲ ἐνταῦθα συνεστραμμένων, ὅπου γε μηδὲ τῆς ἄλλης φράσεως τοιαύτης χρεία, οὐ δεησόμεθα, ἀλλ' οὐδὲ διηγήσεων σῳζουσῶν τὴν ἀκολουθίαν — εἰ δὲ μή, λύοιτο ἂν τὸ πάθος —, οὐδὲ ἀγωνιστικὸς ἔσται ὁ λόγος, ἀλλὰ μόνον κινῶν τὸν ἀκροατὴν εἰς ἡδονὴν ἢ εἰς δάκρυα.

Περὶ ἐκφράσεως.

Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες οὕτως ἔγραψαν· 'ἔστι μὲν ἡ τῶν ἐφεξῆς προγυμνασμάτων τάξις ἀδιάφορος ἄλλων ἄλλως ταττόντων, οὐδὲν δὲ κωλύει τὴν ἔκφρασιν ἐν μελέτῃ ποιεῖσθαι εὐθὺς

16 — p. 71, 5: P 649, 9—651, 12

5. 6 *ἐφ' ἓν τῶν τριῶν τούτων* Pc 6 *ἐφέτερον* Pc 7 fort. *ἄλλως τε καὶ ἐπειδὴ* 8 p. 54, 22 sq. 11 *χρείας* P *δεηθησόμεθα* Pc 15 *δάκρυον* Vh 19 *καὶ* add. post *ἀδιάφορος* Pa Vh *τασσόντων* P

σιάζοντες ἠθοποιιῶν πολλάκις δεόμεθα. γυμνάζει δὲ πρὸς τὸν ἐπιστολικὸν χαρακτῆρα, εἴ γε καὶ ἐν ἐκείνῳ δεῖ τοῦ ἤθους τῶν ⟨*τε*⟩ *ἐπιστελλόντων* ⟨*καὶ*⟩ *πρὸς οὓς ἐπιστέλλουσι, ποιεῖσθαι πρόνοιαν ἐκ παντός* 10 Ac: *ἀλλ' οὐδὲ προοιμίων ἐνταῦθα δεῖ συνεστραμμένων οὐ*⟨*δὲ*⟩ *διηγήσεων* (*διηγήματος* Ac) *σῳζουσῶν ἀκολουθίαν — εἰ δὲ μή, λύοιτ' ἂν τὸ πάθος — οὐδὲ ἀγωνιστικὸς ἔσται ὁ λόγος, ἀλλὰ μόνον κινῶν τὸν ἀκροατὴν εἰς ἡδονὴν ἢ εἰς δάκρυα*

2 cf. Theo. 115, 22 12. 13 Max. 54, 19 sq. 17 sq. cf. Sard.

μετὰ τὴν σύγκρισιν· ἐπειδὴ γὰρ καὶ ἐπὶ τῆς συγκρίσεως ἔφαμεν εἶναι ἄδειαν τῆς ἀνειμένης φράσεως, καὶ ἐπὶ ταύτης δὲ μᾶλλον ἐκείνῳ τῷ εἴδει τῆς ἀπαγγελίας χρῆσθαι παραδέδοται, εἰκότως ἀκολουθεῖν δεῖ τῇ συγκρίσει τὴν ἔκφρασιν.' ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ἡμεῖς δὲ τῷ κεκρατηκότι ἔθει ἑπόμενοι μετὰ τὴν σύγκρισιν μὲν τὴν ἠθοποιίαν ἐτάξαμεν, μετὰ ταύτην δὲ τὴν ἔκφρασιν καί φαμεν· ἔκφρασίς ἐστι λόγος ἀφηγηματικός, ὑπ' ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον. πρόσκειται δὲ ἐναργῶς, ὅτι κατὰ τοῦτο μάλιστα τῆς διηγήσεως διαφέρει· ἣ μὲν γὰρ ψιλὴν ἔχει ἔκθεσιν πραγμάτων, ἣ δὲ πειρᾶται θεατὰς τοὺς ἀκούοντας ἐργάζεσθαι. ἐκφράζομεν δὲ τόπους, χρόνους, πρόσωπα, πανηγύρεις, πράγματα. τόπους μέν, οἷον λειμῶνας, λιμένας, λίμνας καὶ ὅσα τοιαῦτα· χρόνους δέ, οἷον ἔαρ, θέρος· πρόσωπα δέ, οἷον ἱερέας, Θερσίτας καὶ τὰ τοιαῦτα· πανηγύρεις δέ, ὡς Παναθήναια, Διονύσια καὶ τὰ ἐν αὐτοῖς δρώμενα· καὶ ὅλως πρὸς πολλὰ τῷ προγυμνάσματι τούτῳ χρησόμεθα. διαφέρει δὲ καὶ κατ' ἐκεῖνο τῆς διηγήσεως, ὅτι ἣ μὲν τὰ καθόλου, ἣ δὲ τὰ κατὰ μέρος ἐξετάζει· οἷον διηγήσεως

---

2 p. 63, 3 sq. 4 παραδέδοται Pa Vh; δέδοται Pc δεῖ ἀκολουθεῖν Pc 6 μετὰ Pc; om. Pa Vh 7 post ἔκφρασιν add. μετετάξαμεν Pa Vh 9 ἐναργῶς ἄγων Pa Vh 11 ὑψηλὴν Vh 13 πραγμάτων Vh 15 θέρος· ἔαρ Pc 18 πρὸς Brinkmann; περὶ P 19 καὶ om. Pc

---

10 Ac: διαφέρει ἡ ἔκφρασις τῆς διηγήσεως, ὅτι ἡ μὲν διήγησις ψιλὴν ἔχει ἔκθεσιν πραγμάτων, ἣ δὲ πειρᾶται θεατὰς τοὺς ἀκούοντας ἐργάσασθαι. καὶ ἣ μὲν τὰ καθόλου, οἷον ὅτι ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι, ἣ δὲ τὸ κατὰ μέρος, ὅτι τοιᾷδε παρασκευῇ καὶ τοίῳ τρόπῳ ὁπλίσεως· ὡς γὰρ ἐπίπαν τοῦ

---

8 cf. Theo. 118, 6; Herm. 22, 7; Aphth. 46, 15 9 sq. Dox. 511, 24 sq.; Max. 56, 3 sq. 55, 14 sq.; R 13 cf. Theo. 118, 7; Herm. 22, 9; Aphth. 46, 16 15 cf. Herm. 22, 15; Aphth. 46, 22 16 cf. Theo. 118, 12; Herm. 22, 11

μέν ἐστι τὸ εἰπεῖν· ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι· ἐκφράσεως δέ, ὅτι τοιᾷδε καὶ τοιᾷδε ἑκάτεροι παρασκευῇ ἐχρήσαντο καὶ τῷδε τῷ τρόπῳ τῆς ὁπλίσεως.

Δεῖ δέ, ἡνίκα ἂν ἐκφράζωμεν καὶ μάλιστα ἀγάλματα τυχὸν ἢ εἰκόνας ἢ εἴ τι ἄλλο τοιοῦτον, πειρᾶσθαι λογισμοὺς προστιθέναι τοῦ τοιοῦδε ἢ τοιοῦδε παρὰ τοῦ γραφέως ἢ πλάστου σχήματος, οἷον τυχὸν ἢ ὅτι ὀργιζόμενον ἔγραψε διὰ τήνδε τὴν αἰτίαν ἢ ἡδόμενον, ἢ ἄλλο τι πάθος ἐροῦμεν συμβαῖνον τῇ περὶ τοῦ ἐκφραζομένου ἱστορίᾳ· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως πλεῖστα οἱ λογισμοὶ συντελοῦσιν εἰς ἐνάργειαν.

Ἀρξόμεθα δὲ ἀπὸ τῶν πρώτων, καὶ οὕτως ἐπὶ τὰ τελευταῖα ἥξομεν· οἷον εἰ ἄνθρωπον χαλκοῦν ἢ ἐν γραφαῖς ἢ ὁπωσοῦν ἔχομεν ἐν τῇ ἐκφράσει ὑποκείμενον, ἀπὸ κεφαλῆς τὴν ἀρχὴν ποιησάμενοι βαδιοῦμεν ἐπὶ τὰ κατὰ μέρος· οὕτω γὰρ πανταχόθεν ἔμψυχος ὁ λόγος γίνεται.

Πέντε δ' ὄντων τῶν τοῦ λόγου μερῶν, ὡς πολλάκις

---

5 (εἴ om.) *ἄλλο τι* Pc 7 *ἢ πλάστου σχήματος* om. Pc 18 et p. 70, 4 *ἐνέργειαν* Pc 15 *τῆς ἀρχῆς* Vh *ἥξομεν* Pc 16 *ὁ* Pc; om. Pa Vh

---

τρόπου τῆς τῶν πραγμάτων ὑπάρξεως ἡ ἔκφρασις ἐξαγγελτική. ἡνίκα μέντοι ἀγάλματα ἢ εἰκόνας ἤ τι τοιοῦτον ἐκφράζομεν, πειρᾶσθαι λογισμοὺς προστιθέναι τοῦ τοιοῦδε γραφέως ἢ πλάστου σχήματος, οἷον ὅτι ὀργιζόμενον ἢ ἡδόμενον ἔγραψεν 19 Ac: *ὅτι πέντε τῶν τοῦ λόγου μερῶν ὄντων πρὸς διηγηματικὸν ἡ ἔκφρασις γυμνάζει, οὐ ψιλὴν ἀφήγησιν ποιουμένη, ἀλλὰ τὰ τὴν ἐνάργειαν ἐργαζόμενα παραλαμβάνουσα. καὶ συμβουλεύοντες δὲ ἀνάγκην ἔχομεν ἐκφράσαι τοῦτο, περὶ οὗ ὁ λόγος, ἵνα μᾶλλον πείσωμεν· καὶ κατηγοροῦντες καὶ ἀπολογούμενοι δεόμεθα τῆς ἐκ τοῦ ἐκφράζειν αὐξήσεως· καὶ ἐν πανηγύρει ἱκανὸν τὸ τῆς ἐκφράσεως ἡδονὴν ἐμποιῆσαι*

---

18 cf. Aphth. 46, 26; Max. 54, 21 sq.

εἴρηται, προοιμίου, διηγήσεως, ἀντιθέσεως, λύσεως, ἐπιλόγου, γυμνάσει ἡμᾶς ἡ ἔκφρασις πρὸς τὸ διηγηματικὸν μέρος, πλὴν ὅσον οὐ ψιλὴν ἀφήγησιν ποιουμένη, ἀλλὰ παραλαμβάνουσα τὰ ἐργαζόμενα τὴν ἐνάργειαν καὶ ὑπ' ὄψιν ἡμῖν ἄγοντα ταῦτα, περὶ ὧν εἰσιν οἱ λόγοι, καὶ μονονοὺ θεατὰς εἶναι παρασκευάζοντα.

Τριῶν δὲ ὄντων εἰδῶν, τοῦ τε δικανικοῦ λέγω καὶ πανηγυρικοῦ καὶ συμβουλευτικοῦ, ἐν πᾶσιν ἡ χρεία τοῦ προγυμνάσματος τούτου εὑρεθήσεται· καὶ γὰρ συμβουλεύοντες πολλάκις ἀνάγκην ἔχομεν ἐκφράσαι τοῦτο, περὶ οὗ ποιούμεθα τοὺς λόγους, ἵνα μᾶλλον πείσωμεν, καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι δεόμεθα τῆς ἐκ τοῦ ἐκφράζειν αὐξήσεως, καὶ μέντοι καὶ ἐν πανηγυρικαῖς ὑποθέσεσιν ἱκανὸν τὸ τῆς ἐκφράσεως ἡδονὴν ἐμποιῆσαι τοῖς ἐν θεάτροις καθημένοις.

Ἔστι δὲ ὡς ἐπὶ τὸ πολὺ τοῦτο τὸ προγύμνασμα τῶν ὡς μερῶν παραλαμβανομένων· οὐδὲν δὲ ἴσως ἂν κωλύοι καὶ ὡς ἀρκοῦσάν ποτε αὐτὴν πρὸς ὅλην ὑπόθεσιν ἐργάσασθαι, ὡς ἐπὶ τὸ πλεῖστον μέντοι τῶν μερῶν ἐστι.

Φράσεως δὲ ποικίλης ἐν αὐτῇ δεόμεθα· πρὸς γὰρ τὴν ὑποκειμένην ὑπόθεσιν ἁρμόζειν δεῖ καὶ τὸ τῆς ἀπαγγελίας εἶδος, ἢ γλυκαίνοντας ἢ ἐκτραγῳδοῦντας τὰς συμ-

---

9 *καὶ γὰρ καὶ* Pa 10 *πολλάκις* ante *ἀνάγκην* Pc Sard., post *ἔχομεν* Pa Vh 13 *φράζειν* Vh 14 *ἐκ* add. ante *τῆς* Pc 16 *ὡς* Pa Vh; *καὶ* Pc 18 *ποτε* om. Pc *τοῦτο* add. ante *ἐργάσασθαι* Pc

---

16 Ac: *ὅτι ἡ ἔκφρασις τῶν ὡς μερῶν ἐστι, ληφθήσεται δέ ποτε καὶ πρὸς ὅλην ὑπόθεσιν* 20 Ac: *φράσεως δὲ ποικίλης ἐν αὐτῇ δεόμεθα· πρὸς γὰρ τὴν ὑποκειμένην ὑπόθεσιν ἁρμόζειν* (*ἁρμόζει* Ac) *δεῖ καὶ τὸ τῆς ἀπαγγελίας* (*ἐπαγγελίας* Ac) *εἶδος ἢ γλυκαίνοντας ἢ ἐκτραγῳδοῦντας τὰς συμφοράς· ἔστι γὰρ ὅτε*

---

7 sq. cf. R 9—11 Sard. 17—19 Max. 57, 27 sq. 20 cf. Theo. 119, 31 sq.; Herm. 23, 10; Aphth. 47, 5 20—22 Max. 58, 1 sq.

φορὰς ἢ ὅλως ἄλλο τι παριστάντας πάθος· ἔστι γὰρ ὅτε εὐθυμίαν μόνην ἐμποιῆσαι θέλομεν, ἔστι δὲ ὅτε δεινῶσαί τε καὶ αὐξῆσαι, ὡς ὁ Δημοσθένης ἐν τῷ Περὶ τῆς παραπρεσβείας τὸ κατὰ τὴν Φωκίδα πάθος ὑπ' ὄψιν ἄγειν πειρᾶται διὰ τοῦ λόγου.

Περὶ θέσεως.

Περὶ τῆς διαιρέσεως ⟨ἐν⟩ τῇ καλουμένῃ θέσει πολλὴ τοῖς τεχνογράφοις γέγονεν ἀμφισβήτησις· ἀλλ' ἡμεῖς πρότερον, τί ἐστι θέσις, εἰπόντες τότε τῆς διαιρέσεως ἀψόμεθα.

Θέσις τοίνυν ἐστὶ πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον ἄνευ προσώπων ὡρισμένων καὶ πάσης ἑτέρας περιστάσεως. εἴρηται δὲ λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, οὐχ ὅτι καὶ τὰ ἄλλα ἄνευ λόγου ἐπισκεπτόμεθα, ἀλλ' ὅτι τοῦτο περὶ μόνην τὴν ἐξέτασιν εἴληπται τὴν ἀπὸ τοῦ λόγου καὶ οὐδεμίαν ἔχει περίστασιν ἑτέραν, ἐπεὶ προστεθείσης περιστάσεως τελεία ὑπόθεσις γίνεται. ταύτῃ γάρ τοι καὶ διαφέρει τῆς ὑποθέσεως ἡ θέσις, ὅτι ἡ μὲν ἄνευ περιστάσεως, ἡ δὲ μετὰ περιστάσεως συνίσταται. οἷον θέσις ἐστίν, εἰ γαμητέον· ἐνταῦθα αὐτὸ καθ'

---

7 — p. 76, 23: P 657, 19—661, 2

---

3 Dem. 19, 65 4 *πρεσβείας* Pc *τὴν φωκίδα* Ac O; *τῶν φωκίδων* P 7 *ἐν* add. Finckh 9. 10 *ἀψώμεθα* Pa 14 [*καὶ*]?

εὐθυμίαν μόνην διὰ τοῦ ἐκφράζειν ἐμποιῆσαι θέλομεν τοῖς ἀκροαταῖς, ὅτε δὲ δεινῶσαι καὶ αὐξῆσαι, ὡς ἐν τῷ παραπρεσβείας Δημοσθένης τὸ κατὰ τὴν Φωκίδα πάθος ὑπ' ὄψιν ἄγειν πειρώμενος διὰ τοῦ λόγου 11 Ac: *θέσις ἐστὶ πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον ἄνευ προσώπων ὡρισμένων καὶ πάσης ἑτέρας περιστάσεως*

---

11 cf. Theo. 120, 12; cf. Sard.; Dox. 539, 14. 540, 11; Max. 60, 29 sq. 16 cf. Herm. 24, 5 sq. 18 cf. Aphth. 49, 22; Max. 59, 9 sq. 20 cf. Herm. 24, 8 sq.

ἑαυτὸ τὸ πρᾶγμα ζητοῦμεν, οὐ ζητοῦντες, εἰ τόνδε δεῖ γαμεῖν, ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ μόνον, εἰ τὸ πρᾶγμα ἀγαθὸν ἢ μὴ τοιοῦτον· εἰ μέντοι γε ἐθελήσομεν τυχὸν ἀναπλάσαι, ὅτι ἔχων τις τρεῖς παῖδας τούτους ἀποβαλὼν βουλεύεται τὴν γυναῖκα οὐκ οὖσαν ἔτι τεκνοποιὸν ἀποπέμψας ἑτέραν γῆμαι, ὑπόθεσις γίνεται.

Τοῦτο δὲ τὸ προγύμνασμά ἐστι μὲν τοῦ συμβουλευτικοῦ εἴδους, διαιρεῖται δὲ κατὰ τοὺς ἀκριβεῖς τεχνογράφους τοῖς πανηγυρικοῖς κεφαλαίοις. οὐ λέληθε γάρ με, ὅτι ἕτεροι καὶ ἑτέροις τισὶν ἐχρήσαντο κεφαλαίοις, οἳ μὲν τοῖς τελικοῖς καλουμένοις, τινὲς δὲ καὶ ἄλλοις, καινὰ αὐτοῖς ὀνόματα περιτιθέντες. περὶ ὧν ἰστέον, λέγω δὲ τῶν τοῖς καινοῖς ὀνόμασι χρησαμένων, ὅτι πάντα ἐκεῖνα τὰ ὡς κεφάλαια παρά τινων ὀνομαζόμενα ἐνθυμήματά ἐστι, συνιστάντα τὸ ἐν τῷ πράγματι χρήσιμον, οἷον ὃ λέγουσι κατὰ φύσιν ἢ κατὰ νόμον ἢ κατὰ ἔθος ἢ κατὰ τὸ ὅσιον τὸ περὶ τοὺς τελευτήσαντας ἢ ὅσιον τὸ περὶ τὴν πατρίδα· τοιαῦτα γάρ τινα κεφάλαια ἐξευρήκασι. θῶμεν οὖν εἶναι τὴν ἐξέτασιν ἡμῖν περὶ τοῦ εἰ γαμητέον· ἐνταῦθα τοίνυν εἰ ἀρξαίμεθα, εἰ κατὰ φύσιν τὸ πρᾶγμα, ζητεῖν, εἰ κατὰ ἔθος, εἰ κατὰ νόμον, εἰ ὅσιον

---

12 *κενὰ* Vh *ἐπιτιθέντες* Pc; *περιθέντες* Pa Vh 15 *συνιστάντα* Pa c; *συνίσταντο* Vh 16 *λέγω* Pc 17 exsp. *ἢ κατὰ τὸ ὅσιον τὸ περὶ τὴν πατρίδα ἢ τὸ περὶ τοὺς τελευτήσαντας*, cf. 73,1 et Ac 20 *ἀρξαίμεθα* Finckh; *ἀρξοίμεθα* Pa Vh; *ἀρξόμεθα* Pc

---

8 Ac: *τὴν θέσιν κατὰ τοὺς ἀκριβεῖς ἐγκωμιαστικοῖς ἐργασόμεθα κεφαλαίοις* 10 Ac: *ὅσοι δὲ τὴν θέσιν διεῖλον τοῖς τελικοῖς κεφαλαίοις ἢ τοῖς κατὰ νόμον ἢ κατὰ φύσιν ἢ κατ' ἔθος ἢ κατὰ ὅσιον τὸ περὶ τὴν πατρίδα ἢ τοὺς τελευτήσαντας, ἔλαθον ἑαυτοὺς τοῖς ἐνθυμήμασι τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἀντὶ τῶν κεφαλαίων χρησάμενοι*

---

10 sq. cf. Dox. 547, 21 sq. 10 sq. cf. Herm. 25, 21; Aphth. 50, 3 sq. 11 sq. cf. Theo. 121, 24 sq.

περὶ πατρίδα, εἰ ὅσιον περὶ προγόνους, τί ἄλλο ζητοῦμεν, ἢ ὅσα ἂν ἀγαθὰ ἐκ τοῦ γάμου γένοιτο, ἅπερ ἂν εἴη ἐνθυμήματα τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἑνός; εἰ δὲ ζητοίημεν, τίνες οἱ εὑρόντες καὶ πρῶτοι χρησάμενοι, τί ἕτερον ἢ ἐροῦμεν τὰ ἐνθυμήματα, ἅπερ ἀντὶ τοῦ γένους παραληψόμεθα; ὥστε μοι δοκοῦσι καλῶς ποιεῖν οἱ τοῖς ἐγκωμιαστικοῖς αὐτὴν διαιροῦντες κεφαλαίοις, ἵνα ᾖ μὲν τὸ προγύμνασμα εἴδους συμβουλευτικοῦ, ὕλης δὲ πανηγυρικῆς καὶ διαιρέσεως· καὶ γὰρ ἐν αὐταῖς ταῖς τελείαις κατὰ συμβουλὴν ὑποθέσεσιν ἢ προτρέποντες ἢ ἀποτρέποντες δι' ἐπαίνων ἢ ψόγων αὐτὸ κατασκευάζειν εἰώθαμεν. ὥστε μοι καὶ ἐνταῦθα ἐπαινετοὶ δοκοῦσιν οἱ οὕτω διαιροῦντες.

Παραλαμβανέσθω οὖν καὶ ἐν αὐτῇ προοίμια, ἓν ἢ δύο ἢ καὶ πλείονα, τῆς χρείας τῷ λέγοντι τὸ μέτρον ὁριζούσης, ἢ σύστασιν ἢ διαβολὴν ἔχοντα τοῦ πράγματος ἢ ἄλλο τι κατασκευάζοντα, ὧν ἐν προοιμίοις εἰώθασιν οἱ ῥήτορες ποιεῖν. μετὰ δὲ ταῦτα ἰέναι δεῖ ἐπὶ τὰ ἀπὸ τοῦ γένους· παραληψόμεθα δ' ἐν αὐτοῖς ἐν τάξει προγόνων τοὺς εὑρόντας καὶ πρώτους χρησαμένους ἢ θεοὺς ἢ ἀνθρώπους. μετὰ δὲ ταῦτα ἀντὶ τῶν ἐπιτηδευμάτων τάξομεν τὰ περὶ τὴν ἄσκησιν τοῦ πράγματος γινόμενα, ἀντὶ

---

1 *τὴν πατρίδα* Vh 4 *πρῶτοι καὶ* P; cf. l. 20 5 *τὰ* Pc; om. Pa Vh 7 *αὐτὴν* P; *αὐτὸ* Finckh 10. 11 *ἢ ἀποτρέποντες* om. Vh 16 *ἔχοντα* Pa; *ἔχοῦ* Pc Vh 17 *κατασκευάζοντα* Pa; *κατασκευάζοῦ* Pc; *κατασκευάζοντος* Vh 20 *πρώτους* Ac; *πρώτως* P; cf. l. 4

---

8 Ac: *ἡ θέσις ἐστὶ κατὰ μὲν τὸ εἶδος τοῦ συμβουλευτικοῦ, κατὰ δὲ τὴν ὕλην τοῦ πανηγυρικοῦ* 14 Ac: *παραλαμβανέσθω οὖν προοίμια τῆς χρείας ποιουμένης (τὴν χρείαν ποιούμενα* Ac) ⟨*τὸ*⟩ *μέτρον, σύστασιν ἔχοντα ἢ διαβολὴν τοῦ προκειμένου. καὶ μετὰ ταῦτα παραληψόμεθα τοὺς εὑρόντας καὶ πρώτους χρησα-*

δὲ πράξεων τὰς ἐξ αὐτοῦ ὠφελείας, καὶ οὕτως πλατυνοῦμεν τὴν ἐργασίαν.

Διαφέρει δὲ ἡ ἐνταῦθα πανηγυρικὴ διαίρεσις τῆς τοῦ ἐγκωμίου διαιρέσεως, ὅτι ἐν ἐκείνῳ μὲν ἀντίθεσις οὐκ ἐμπίπτει, εἰ μὴ ἄρα ἐξ ἰδιαζούσης ὕλης, ἐνταῦθα δὲ πάντως ἐμπεσεῖται ἀντίθεσις, ἔχουσα μὲν ἐξέτασιν τῶν συμβαινόντων τε καὶ παρεπομένων τῷ πράγματι κακῶν, λυομένη δὲ παραδειγματικῶς καὶ ἐνθυμηματικῶς· παραδειγματικῶς μὲν ἐκ τῶν ἑτέροις πράγμασι παρακολουθούντων κακῶν, οὐκ ὄντων δ' ἱκανῶν ἀποτρέπειν τοὺς ἐθέλοντας ἐπ' αὐτὰ ἰέναι καὶ διὰ τοῦτο τοῖς ἀγαθοῖς πλείοσιν <οὖσι> μᾶλλον ἢ τοῖς κακοῖς προσέχοντας· ἐνθυμηματικῶς δὲ ἐκ τῶν ἀποδείξεων τῶν δεικνυουσῶν καὶ ἐν αὐτῷ τὰ ἑπόμενα καλὰ τοῖς εἰς ἄκρον κατωρθωκόσιν. οἷον τυχόν, εἰ γαμητέον· μετὰ τὸ εἰπεῖν, πόσα ἐκ γάμων γίνονται ἀγαθὰ τικτομένων ἑτέρων ἐφ' ἑτέροις τῶν εἰς πλῆθος αὐξόντων, εἰ τύχοι, ἰδίᾳ καὶ κοινῇ τὰς

4 ὅτι om. Pc cf. 53, 6 sq. 5 ἰσαζούσης Vh 11 θέλοντάς τε Vh 11—12 vix sana, cf. Ac 12 οὖσι add. Ac 14 εἰς om. Vh

μένους, εἶτα ἀντὶ ἐπιτηδευμάτων τὰ περὶ τὴν ἄσκησιν τοῦ πράγματος γινόμενα τάξομεν, ἀντὶ δὲ πράξεων τὰς ἐξ αὐτοῦ ὠφελείας, καὶ οὕτω πλατυνοῦμεν (πλατύνυνουσι sic Ac) τὴν ἐργασίαν. διαφέρει δὲ ἡ πανηγυρικὴ διαίρεσις τοῦ ἐγκωμίου, ὅτι ἐν ἐκείνῳ μὲν ἀντίθεσις οὐκ ἐμπίπτει, εἰ μὴ ἄρα ἐξ ἰδιαζούσης ὕλης, ἐνταῦθα δὲ πάντως ἐμπεσεῖται ἀντίθεσις, ἐξέτασιν ἔχουσα τῶν παρεπομένων τῷ πράγματι κακῶν, λυομένη (λύομεν Ac) δὲ παραδειγματικῶς καὶ ἐνθυμηματικῶς. παραδειγματικῶς μὲν ἐκ τῶν ἑτέροις πράγμασι παρακολουθούντων κακῶν, οὐκ ὄντων δὲ ἱκανῶν ἀποτρέπειν τοὺς ἐθέλοντας ἐπ' αὐτὰ ἰέναι διὰ τὸ πλείοσι τοῖς ἀγαθοῖς οὖσι τῶν κακῶν [οὐκ ὄντων δὲ ἱκανῶν] προτρέπειν μᾶλλον ἐφ' ἑαυτά· οὔτε γὰρ ναυτιλίας ἐκώλυσε τὰ ναυάγια οὔτε γεωργίας οἱ αὐχμοὶ οὔτε γάμους αἱ μοιχεῖαι. ἐνθυμηματικῶς δὲ ἐκ τῶν ἀποδείξεων τῶν δεικνυουσῶν τὰ τῷ πράγματι ἑπόμενα ἀγαθὰ τοῖς εἰς ἄκρον κατωρθωκόσιν

3—7 cf. Dox. 548, 13 sq. 4 cf. Herm. 26, 7; Aphth. 49, 30

πόλεις καὶ παρασκευαζόντων τοὺς τρόποις διαφόροις τὴν εὔνοιαν ἐπιδειξομένους, καὶ μετὰ τὸ δεῖξαι, ὅτι καὶ τοῖς γένεσιν ἡ διαδοχὴ σῴζεται, καὶ ὅτι πένησι τεχθήσονται οἱ γηροβοσκήσοντες, πλουσίοις οἱ τὰς οὐσίας φυλάξοντες, καὶ μετὰ πολλὰ τοιαῦτα τὰ θετικὰ καλούμενα ἀντιθήσομεν, τὰς μοιχείας τε καὶ τὰς τῶν παίδων ἀποβολάς, αἵτινες λυθήσονται ἐκ ναυαγιῶν μὲν τῶν οὐκ εἰρξασῶν τοὺς πλέοντας, αὐχμῶν δὲ καὶ ὄμβρων τῶν οὐ κωλυσάντων γεωργίας, ἐπαγομένων τούτοις καὶ τῶν ἐπὶ παίδων ἀριστείαις στεφάνων, εἰκόνων, σιτήσεων, εὐκλείας ὅλως καὶ πάντων τῶν δεικνύντων εὐδαίμονα τοῖς μὴ ἐναντίας πειραθεῖσι τύχης τὸν βίον ἅπαντα.

Τοῦ δὲ κοινοῦ τόπου διαφέρει — καὶ γὰρ ἐκεῖ αὔξησίς ἐστι πράγματος, καὶ κατὰ τοῦτο ἔστι τις αὐτοῖς κοινωνία — διαφέρει οὖν, ὅτι ἐν μὲν ἐκείνοις ὁμολογούμενόν ἐστι τὸ πρᾶγμα, περὶ οὗ οἱ λόγοι, ἐνταῦθα δὲ ἀμφισβητούμενον, διὸ καὶ ἅπερ ἐπῃνέσαμεν, διαβάλλειν οὐ κωλυθησόμεθα· καὶ ἐν ἐκείνῳ μὲν δικαστῶν ψῆφον ἐκινοῦμεν, ἐνταῦθα δὲ ὡς βουλῆς οὔσης μόνης καὶ οὐδενὸς ἀκολουθοῦντος κακοῦ παρὰ δικαστῶν τὴν ἐξέτασιν ποιησόμεθα· κἀκεῖ μὲν καὶ πρόσωπον [καὶ] τὸ ἁμαρτῆσαν

2 ἐπιδειξαμένους (ο supra α) Pc 3 πένη (τ supra) Vh 4 τοῖς πλουσίοις Pc φυλάξαντες Pa Vh 7 ναυαγίων P εἰρξάντων Pc 8 δὲ Pa Vh; τὲ Pc 11 δεικνυόντων Pc 12 περιθεῖσι Vh 14 αὐτῶι Pc 19 fort. κινοῦμεν ut Ac 20 παρὰ Pc Ac; περὶ Vh; ἄνευ Pa 21 καὶ eras. videtur Pa ἁμαρτῆσαι Walz

13 Ac: διαφέρει ἡ θέσις τοῦ κοινοῦ τόπου, ὅτι ἐν μὲν τῷ κοινῷ τόπῳ δικαστῶν ψῆφον κινοῦμεν, ἐνταῦθα δὲ ὡς βουλῆς οὔσης μόνης καὶ οὐδενὸς ἀκολουθοῦντος κακοῦ παρὰ τῶν δικαστῶν τὴν ἐξέτασιν ποιούμεθα, κἀκεῖ μὲν καὶ πρόσωπον τὸ ἁμαρτῆσαν (μαρτυρῆσαν Ac) ὑπόκειται, ἐνταῦθα δὲ ἀπερίστατος ἡ τοῦ πράγματος ὑπάρχει μόνον ζήτησις

15 cf. Theo. 120, 16; Herm. 25, 13 18 cf. Theo. 120, 23

ὑπόκειται, ἐνταῦθα δὲ ἀπερίστατος ἡ τοῦ πράγματος ὑπάρχει ζήτησις μόνου.

Πολλὴ δὲ ἡ τοῦ προγυμνάσματος τούτου χρῆσις καὶ πρὸς πολλὰ ὠφέλιμος, εἴ γε τέως μὲν τῶν δύο εἰδῶν τῆς ῥητορικῆς, τοῦ τε ἐγκωμιαστικοῦ λέγω καὶ τοῦ συμβουλευτικοῦ, τὴν μελέτην ἔχει, πάντων δὲ τῶν τοῦ λόγου μερῶν ἐστι δεκτική, προοιμίων τε λέγω καὶ διηγήσεων — τῶν ἐν τῇ ἐξετάσει [τε] λέγω τῶν ἀγαθῶν τῶν περὶ τὸ προκείμενον πρᾶγμα — καὶ ἀντιθέσεων καὶ λύσεων, οἷς δεῖ τοὺς ἐπιλόγους ἕπεσθαι, καθολικὰς συμβουλὰς ἔχοντας καὶ παρακλήσεις ἐπὶ τὸ προκείμενον, ἵνα καὶ ἐκ τούτου τὸ τῆς συμβουλῆς ἴδιον διασῴζοιτο.

Ἔστι δὲ καὶ αὕτη τῶν ὡς μερῶν παραλαμβανομένων μόνων· ὅλην γὰρ οὐκ εἰκὸς γενέσθαι τὴν θέσιν τὴν οὖσαν ἀπερίστατον καὶ κατ' αὐτὸ τοῦτο τῶν τελείων ὑποθέσεων ἐλαττουμένην, πλὴν εἰ μὴ εἴποι τις εἶναι ὅλην διὰ τὸ πάντα τὰ μέρη τοῦ λόγου ὑποδέχεσθαι.

Τῶν δὲ θέσεων αἳ μέν εἰσι φυσικαί, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανός, ἢ εἴ τις ἑτέρα τοιαύτη θειοτέραν ἔχουσα ζήτησιν, αἳ δὲ πολιτικαί, οἵα ἡ ἐξετασθεῖσα· ἀλλὰ τῆς μὲν τῶν φυσικῶν διαιρέσεως φροντιοῦσιν οἱ περὶ φιλοσοφίαν διατρίβοντες, ἡ δὲ τῶν πολιτικῶν διαίρεσις δεδήλωται.

---

8 *ἐν τῇ* om. Pc   11 alt. *καὶ* Pa; om. Pc Vh   14 *μόνον* Vh   [*ὑπὸ* ex *τὴν*] *θέσιν* Pa   16 *εἴπῃ* Vh   20 *οἷα* P

---

8 Ac: *παρέχεται δὲ τὸ χρήσιμον πᾶσι τοῖς μέρεσι τοῦ πολιτικοῦ ⟨λόγου⟩· πάντων γάρ ἐστι δεκτικόν· προοιμίων, διηγήσεων, ἀντιθέσεων καὶ λύσεων, οἷς οἱ ἐπίλογοι ἐπακολουθοῦσι καθολικὰς συμβουλὰς ἔχοντες καὶ παρακλήσεις*   13 Ac: *ἡ θέσις τῶν ὡς μερῶν ἐστι*

---

8 cf. Sard.   13 sq. cf. Theo. 121, 6 sq.; Herm. 25, 5 sq.; Aphth. 49, 15

Περὶ νόμου εἰσφορᾶς.

Νόμος ἐστὶ δόγμα πλήθους ἢ ἀνδρὸς ἐνδόξου πολιτικόν, καθ' ὃ ἅπασι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει. τῶν δὲ νόμων οἳ μέν εἰσι κοινοί, οἳ δὲ ἴδιοι· κοινοὶ μὲν οἱ περὶ τῶν τῆς πόλεως καθόλου, ἴδιοι δὲ οἱ περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων· καὶ πάλιν τῶν νόμων οἳ μὲν ἀγαθῶν ἀμοιβὰς εἰσηγοῦνται, οἳ δὲ ἀδικημάτων τιμωρίαν ὁρίζουσι. διαφέρει δὲ ψήφισμα νόμου, κατὰ πάντα κοινωνοῦν αὐτῷ, μόνῳ ἑνί, ὅτι τὸ μὲν ψήφισμα πρὸς καιρόν ἐστιν, ὁ δὲ νόμος πρὸς ἅπαντα τὸν χρόνον ἀναφέρεται.

Διαφέρει δὲ ἡ τοῦ νόμου εἰσφορὰ τοῦ κοινοῦ τόπου [οὐ μόνον, οἷς καὶ τῆς πραγματικῆς, ἀλλ'] ὅτι [καὶ] ἐκεῖ μὲν ὁμολογουμένου πράγματός ἐστι καὶ ἐξεληλεγμένου καταδρομή, ἐνταῦθα δὲ ἔτι ἀμφισβητουμένου.

Διαιρεῖται δὲ [ὡς καὶ ὁ τεχνικός φησι] τοῖς τελικοῖς κεφαλαίοις· οἱ γὰρ ἄλλοις βουλόμενοι διαιρεῖν αὐτὴν κεφαλαίοις ἔλαθον ἑαυτοὺς τὰς ἐνθυμηματικὰς ἀποδεί-

---

2 — p. 79, 15: P 669,7—670, 18; 23. Haec excerpta tantum videntur esse

---

10. 11 *φέρεται* Pc 16 *καὶ* om. Vh 17 *αὐτοῖς* Pa Vh

---

3 Ac: *τῶν νόμων οἳ μέν εἰσι κοινοὶ οἱ περὶ τῶν τῆς πόλεως καθόλου, οἳ δὲ ἴδιοι οἱ περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων· καὶ οἳ μὲν ἀγαθῶν ἀμοιβὰς εἰσηγοῦνται, οἳ δὲ ἀδικημάτων τιμωρίαν ὁρίζουσι* 8 Ac: *διαφέρει ψήφισμα νόμου κατὰ πάντα κοινωνοῦν αὐτῷ ἑνί, ὅτι τὸ μὲν πρὸς καιρόν, ὁ δὲ νόμος πρὸς ἅπαντα χρόνον* 12 Ac: *διαφέρει ἡ τοῦ νόμου εἰσφορὰ τοῦ κοινοῦ τόπου, ὅτι ἐκεῖ ὁμολογουμένου πράγματός ἐστι καταδρομή, ἐνταῦθα δὲ ἀμφισβητουμένου. διαιρεῖται δὲ τοῖς τελικοῖς κεφαλαίοις. ταῦ-*

2—11 Max. 65, 24 sq. 2—17 R 16 cf. Herm. 27, 1; Aphth. 53, 29

ξεις καινοῖς ὀνόμασι κοσμήσαντες, καὶ ἐπὶ τὴν τῶν κεφαλαίων προαγαγόντες τάξιν [τοῦτο δὲ καὶ ἐν πραγματικῇ τινες πεπόνθασι]. διαιρεῖται δὲ τὰ τελικὰ κεφάλαια εἰς ἔγγραφον καὶ ἄγραφον· ἔγγραφον μὲν τὸ ἐκ νόμου, ἄγραφον δὲ τὸ ἐξ ἔθους. τούτων δ' ἡ τάξις ἐν μὲν πεπλασμένῃ ὑποθέσει ὡς εἰκὸς εὑρεθήσεται, ἐν δὲ ἀληθεῖ πραγμάτων ὑποθέσει τῆς τάξεως κριτὴς ὁ ἀγωνιζόμενος, ὥσπερ πολλάκις καὶ Δημοσθένης ποιεῖ, ταῖς χρείαις τὴν τάξιν συμμεταβάλλων τῆς διαιρέσεως.

Γυμνασία δὲ γίνεται τῶν νόμων ἐν εἰσηγήσει μὲν καὶ ἀντιλογίᾳ, ὅταν πρῶτον εἰσφέρηται, ἐν κατηγορίᾳ δὲ καὶ ἀπολογίᾳ, ὅταν πάλαι κειμένου ἐξέτασις γίνηται· καθόλου γὰρ ἢ τὸν ὄντα διαβάλλομεν ἢ συνιστῶμεν, ἢ τὸν μὴ ὄντα εἰσφέρομεν ἢ εἰσφέρεσθαι κωλύομεν.

Τὸ παρὸν προγύμνασμά ἐστι πρωτοτύπως τοῦ δικανικοῦ· γένοιτο δ' ἄν τις καὶ τοῦ συμβουλευτικοῦ συγγένεια πρὸς αὐτό, ἀλλὰ καὶ τοῦ πανηγυρικοῦ βραχεῖά τις, καθὸ ἐπαινοῦντες ἢ ψέγοντες ἢ κυροῦν ἢ ἀκυροῦν ἐθέλομεν.

---

17 βραχεῖά Pa Vh Ac; χρεῖά Pc 18 κυροῦν Ac; κυροῦμεν P

τα δὲ εἰς ἔγγραφα καὶ ἄγραφα. ἔγγραφον τὸ ἐκ νόμου, ἄγραφον τὸ ἐξ ἔθους. τούτων δ' ἡ τάξις ἐν μὲν πεπλασμένῃ ὑποθέσει ὡς εἰκὸς εὑρεθήσεται, ἐν δὲ ἀληθεῖ πραγμάτων ὑποθέσει τῆς τάξεως κριτὴς ὁ ἀγωνιζόμενος, ὥσπερ καὶ Δημοσθένης ποιεῖ ταῖς χρείαις τὴν τάξιν συμμεταβάλλων τῆς διαιρέσεως. γυμνασία δὲ γίνεται τῶν νόμων ἐν εἰσηγήσει μὲν καὶ ἀντιλογίᾳ, ὅταν πρῶτον εἰσφέρηται, ἐν κατηγορίᾳ δὲ καὶ ἀπολογίᾳ, ὅταν πάλαι κειμένου ἐξέτασις γίνηται· καθόλου γὰρ ἢ τὸν ὄντα διαβάλλομεν ἢ συνιστῶμεν, ἢ τὸν μὴ ὄντα εἰσφέρομεν ἢ εἰσφέρεσθαι κωλύομεν
15 Ac: τὸ παρὸν ⟨προ⟩γύμνασμα ἔστι μὲν τοῦ δικανικοῦ· γένοιτο δ' ἄν τις καὶ τοῦ συμβουλευτικοῦ συγγένεια πρὸς αὐτὸ καὶ βραχεῖά τις τοῦ πανηγυρικοῦ, καθὸ ἐπαινοῦντες ἢ ψέγοντες κυροῦν ἢ ἀκυροῦν ἐθέλομεν. τοῦ δὲ πολιτικοῦ λόγου

3—5 R 7—9 cf. Herm. 441,8 R. Syrian. I 34,8 R

Ἔτι δὲ καὶ τοῦ πολιτικοῦ ⟨λόγου⟩ τῶν μερῶν ἔχει γυμνασίαν προοιμίων καὶ ἀγώνων καὶ ἐπιλόγων μόνων· διηγήσεως δέ, οἷα μὴ μετὰ περιστάσεως οὔσης καὶ περὶ τῶν μελλόντων βουλῆς προκειμένης, οὐ σφόδρα ἐνταῦθα δεόμεθα.

Ἔστι δὲ οὔτε τῶν ὡς μερῶν κυρίως οὔτε τῶν ὅλων· οὔτε γὰρ ὅλον ἐστὶ διὰ τὸ ἀπερίστατον οὔτε μέρος διὰ τὸ μεῖζον ἢ κατὰ μέρος ὑπάρχειν· μᾶλλον δ' ἂν εἴη τῶν μερῶν.

Φράσεως δὲ συνεστραμμένης ἤδη χρεία καὶ δυνατωτέρας, οἷα δὴ οὐ πρὸς θέατρον δρῶντος τοῦ λόγου, οὐδὲ πάθος κινοῦντος, ἀλλὰ δεομένου δεινότητος καὶ ἐργασίας [ὅσης καὶ ἐν πραγματικῇ ἐπιμελεῖσθαι εἰώθαμεν].

Τοσαῦτα περὶ τούτων τὰ νῦν ὡς ἐν εἰσαγωγῇ λεκτέον.

---

1 *λόγου* add. Ac 4. 5 *ἐνταῦθα οὐ σφόδρα* Pc 6 *δὲ καὶ οὔτε* Pc 11 *πρὸς τὸ* Pc 15 P 670, 23. 24; om. Ac *λεκτέον* ante *ὡς* Pc

---

τῶν μερῶν ἔχει γυμνασίαν προοιμίων καὶ ἀγώνων καὶ ἐπιλόγων μόνων· διηγήσεως δὲ οἷα μὴ μετὰ περιστάσεως οὔσης οὐ σφόδρα δεόμεθα. φράσεως δὲ συνεστραμμένης χρεία καὶ δυνατωτέρας, οἷα δὴ ⟨οὐ⟩ πρὸς θέατρον δρῶντος τοῦ λόγου καὶ δεομένου δεινότητος καὶ ἐργασίας, ὅσης καὶ ἐν πραγματικῇ ἐπιμελεῖσθαι εἰώθαμεν

1—5 Dox. 555, 27 sq.

INDEX